Ἡ εὔπορος, καὶ Βασιλικὴ τῆς καθαρτικῆς, καὶ Ἁγίας τικῆς νηστείας ὁδὸς, ἔστιν αὕτη, τὸ ἐν ταῖς νηστίμοις ἡμέραις κατὰ τὴν ἐννάτην ὥραν, τὰς συνήθεις προσευχὰς, καὶ ὑμνωδίας ἀποδίδοντας ἡμᾶς, ἀπονηστίζεσθαι ἄρτῳ μόνῳ, καὶ ἰσχάσι, καὶ φοίνιξι, καὶ λαχάνοις, καὶ ἀντὶ ποτοῦ, ὕδατι κεχρημένους εἰς παραμυθίαν τοῦ Σώματος, εἰ μήτις Σωματικὴ ἀσθένρα ἐνοχλοίη, τηνικαῦτα γὰρ μεσολαβήσει διὰ χρήσις, διὰ θεραπείαν τῆς ἀσθενείας τοῦ Σώματος. Οἱ μέντοι διὰ δυοτυχὸν ἡμερῶν ἢ τριῶν, ἢ Ἑβδομάδος, ἢ τυχὸν τεσσαρακοντάδος ἐσθίοντες, ἀλλ' οὗτοι τρίβους ταύτας ἰδίας καινοτομοῦσιν, ἃς οὐ πᾶσα ἀνάγκη τρίβειν ἅπαντας, οἷα μὴ δὲ παραδεδομένας, μὴ δὲ προσηκούσας πᾶσι, καὶ ῥάονας διὰ τὸ δυσπόρευτον. Εἴπερ τοίνυν ἡ ἑσπέρα τῆς πρὸ τῶν Θεοφανείων ἡμέρας, ἢ ἐν Δευτέρᾳ, ἢ Τρίτῃ, ἢ Τετράδα, ἢ Πέμπτῃ, ἢ πρὸ Σαββάτου ἐπιστῇ, ἀνάγκην ἔχομεν τὴν τῆς ἐννάτης Νηστείαν ἐπιτελεῖν, ἐπεὶ, καὶ τοὺς ἑσπερινοὺς ὕμνους τῇ Θείᾳ ἱερολεστία τηνικαῦτα συζεύγνυμεν, πῶς οὖν ἐστὶν ἐξὸν μετὰ τὴν Ἀπόλυσιν τὴν τῆς ἐννάτης Νηστείαν εἰς ἔλαιον καταλύειν, καὶ εἰς ἰχθύας πολλῷ πλέον, δόξομεν γὰρ διατοῦτο νηστεύειν, οὐχ ἵνα τὸ Σωτήριον ἔθος φυλάξωμεν, καὶ τὸν Θεὸν θεραπεύσωμεν, ἀλλ' ἵνα τρυφήσωμεν, καὶ τῇ σαρκὶ χαρισόμεθα. Ὅ τε δὲ δεῖ φυλάττεσθαι τὸ τῆς ἡμέρας ταύτης νήστιμον ἀνόθευτον, καὶ ἀπαραποίητον, δηλοῦται τοῦτο σαφῶς, καὶ ἀπὸ τῆς τοῦ Ἀρχιεπισκόπου Ἀλεξανδρείας Θεοφίλου προσφωνήσεως, τῆς γενομένης ἐπιστάντων ἐν ἡμέρᾳ Κυριακῆς, τῶν Ἁγίων Θεοφανείων, περιέχει γὰρ ἐν ἐκείνῃ οὕτως ἐπιλέξεων, καὶ τὸ ἔθος, καὶ τὸ πρέπον ἡμᾶς ἀπετεῖ, πᾶσαν Κυριακὴν τιμᾶν, καὶ ἐν ταύτῃ πανηγυρίζειν, ἐπειδήπερ ἐν ταύτῃ ὁ Κς ἡμῶν Ἰησοῦς Χριστὸς τὴν ἐκνεκρῶν Ἀνάστασιν ἡμῖν ἐπρυτάνευσε, διὸ ἐν ταῖς ἱεραῖς Γραφαῖς, καὶ πρώτη, κέκληται, ὡς ἀρχὴ ζωῆς ἡμῖν ὑπάρχουσα, καὶ ὀγδόη, ἅτε δὴ ὑπερβεβηκυῖα τὸν τῶν Ἰουδαίων Σαββατισμὸν, ἐπεὶ οὖν συνέβη τὴν τῶν Ἁγίων Θεοφανείων ἡμέραν νήστιμον, εἶναι, ταύτην οἰκονομήσωμεν, καὶ πρὸς ἑκάτερα ἐπιστημόνως χαρίσωμεν, ἵνα μεταλαβόντες ὀλίγων φοινίκων, ἐκκλίνομεν ἅμα, καὶ τὰς αἱρέσεις, τὰς μὴ τιμώσας τὴν Ἀναστάσιμον τοῦ Κυ ἡμῶν Ἰησοῦ Χριστοῦ ἡμέραν, καὶ τὸ ἐφειλόμενον τῇ νηστίμῳ ἡμέρᾳ ἀποδῶμεν, περιμένον-

τας

πας ἡ ἑαυτειν ἐν σωάξιν, ἥτις ἐν ταῦθα Θεῦ θέλοντος τελεῖται. Σωναχθῶμεν τοίνυν ἀπὸ ὥρας ἐννάτης ἐν ταῦθα. Ὁρᾶς ὁ ἐρωτῶν, ὅπως ἡ Κυριακὴ ἧς δύεσκομεν ἡμέρας τῆς προ τῶν Θεοφανείων ἡμέρας, ἐ καταλύεται τὸ τῇ Νηστίμῳ ἐπόφλόμενον, εἰ γῶν ἐν ταύτῃ, ἀλλὰ τὸ σεβάσμιον αὐτὲ μηδ' ὅλως Νηστείᾳ ὑποπίπτον, ἱκανὸς μόνον, ἡ φοινίξι μὴ τῶν Λειτουργίαν κεχρήμεθα, ἵνα μόνον παραδείξωμεν ὡς ἐ νηστεύομεν, πῶς μὴ τῶν αὐτῆς ἑαυτειν ὑμνωδίαν ἐ ἁγιστείαν, πλὴν τοιάτων τι ὧν ἄλλων εἰς ζοφερὼ λυπαροτέρων ἐλθόμεθα. Εἰ μὴ τύχη ἔπεσθαι αὐτῶν τῶν ἑορτῶν τῆς Ἁγίων Θεοφανείων ἐν Τεζάτῃ, ἢ ἐν Παρασκευῇ ἀρκετὸν ἡμῖν ἔστι καταλῦσαι τῶν ἐν ταῖς τοιαύταις ἡμέραις ὀφειλομένων ἡ τὸ ξθ'. Κανόνα τῆς Ἁγίων Ἀποστόλων εἰς ἔλαιον ἐ ἰχθύας. τὸ δὲ εἰς Κρέας ἐ Τυρὸς, προτεθεύσαθαι ἀλλὰ τοῦτο Γασζιμάργων τὸ ἔργον, καὶ τὰ Ἀποστολικὰ κατανυστίζομένων παραγγέλματα, ἡ νομιζόντων βρώμασιν ἀβρωτάτοις καὶ πόμασι τὸ Θεῖον θεραπεύειν ἐν ταῖς Δεσποτικαῖς ἑορταῖς ἐκ ἔστιν ὃ φησὶν ἡ Βασιλεία τοῦ Θεῦ βρῶσις καὶ πόσις. ἀλλ' ὅσα ἐξῆς ὁ Ἀποστολικὸς λόγος παρίσησιν. Ὑπεξαιρῆνται δὲ τῆς Νηστείμων αἱ Τεζάδες ἡ Παρασκευαὶ. αἵτε φιλανθρωπία τῆς Διακαινησίμου Ἑβδομάδος αἱ δωδεκαημέρου. αἱ τῆς λεγομένης Προφωνησίμου Ἑβδομάδος, καὶ αἱ τῆς Τυροφάγου, ἐν ταύταις γὰρ ἀδαμῶς νηστεύομεν ἡ μὴ Διακαινησίμος πᾶσα, ὡς μία ἡμέρα λογίζεται, ἕως ὡς αὔτη ἡ μεγάλη Κυριακὴ ἀλλὰ γὰρ τοῦτο, ἡ Ἑωθινὰ Ἀνασάσιμα Εὐαγγέλια ἐν ταύτῃ καθ' ἑκάστην ἡμέραν ἀναγνώσκονται, τὸ δωδεκαημερον δὲ Νηστείαν ἐ χειτῶ Ἀρμενίων. ἔτι γὰρ, τὰς ζεῖς ἑορτὰς ἕως τὸ Εὐαγγελισμῦ, ἡ τὴ Γέννησιν, ἐ τὰ Θεοφάνεια, σωαπτῶς ἐκτελῶσι κατ' αὐτὸν τὸν ἡμέραν τῶν Θεοφανείων ἀκολουθοῦντες τὰ ἄλλοις τὰ Αἱρετικοῖς, ἡ τῷ ἀρχηγῷ αὐτῶ Μανιχαίῳ. ὃς ἡ Ἰχανιος ὀνομάζεται. ἀλλὰ τοῦτο γὰρ, ἡ πρὸ τῶν Θεοφανείων, δωδεκα ἡμέρας νηστεύσι. ἡ ἀλλὰ προφωνήσιμον δὲ οἱ αὐτοὶ νηστεύσιν Ἀρμένιοι ὑπὲρ τὸ λεγομένης Ἀρτζιβκείε, εἰ ἡ συγκαλύπτειν τὸ αἰσχρὸν τῆς τοιαύτης νηστείας θελοντες, οἱ μὲν αὐτῶν ἀλλὰ τὰς νηστεύειν λέγεσιν. οἱ δὲ ἀλλὰ τὸν ἐξορίαν τὸ Ἀδαμ. τὸ ἀληθὲς δὲ ἔστι ἀλλὰ τὴν ἀπώλειαν τὸ Κυρίε. ὃς Μανδάτωρ ἐν τούτοις Μιλιυντὴς ἡ Διδασκάλε αὐτῶν Σεργίε ἀποκαλόμενος γὰρ παρ' αὐτῷ ὁ Κύριος ἐκεῖνος, μόνην τὴν ἑαυτῶ πρόσταξιν προσμιλύνε τὴν τῶ Διδασκάλε ἐπιδημίαν ἐν Κώμαις ἡ ἐν Πόλεσιν ἔνθα φοιτᾶν ἐκεῖ. παραβαλεῖν. ἡ γὰρ προσηγορία τῶ Ἀρτζιβκείε κατὰ τὸν τῶν Ἀρμενίων ἀλέκτορα. Μανδάτορα, ὅτε γὰρ ἐπένθησεν αὐτὸ ὁ Σέργιος ἀπὸ Θεείων βρωθέντα, σωεπένθησαν δὲ ἐκείνῳ καὶ οἱ Ἀρμένιοι. ἀλλὰ τῶτο καὶ Νηστείαν τῷ πένθει προσέθηκαν. καὶ μέντοι τὸν Τυροφάγον οἱ Αἱρετικοὶ οἱ λεγόμενοι Τεζαδίται μεγάλην Νηστείαν παρατηροῦσιν. Ἵνα γὰρ μὴ συνεμπίπτωμεν ταῖς τῶν Αἱρετικῶν τέτων Νηστείαις, ἀλλὰ τῶτο ἀντιρρόπως ἐκείναις ταῖς ἐν ταῖς εἰρημέναις Ἑβδομάσι νηστίμοις ἡμέραις, ἤ ὡς τὰς Τεζάδας καὶ τὰς Παρασκευὰς, ταῖς ἀνεσίμοις ἐξισοῦντες. τοῖς αὐτοῖς καὶ ἐν ταύταις κεχρήμεθα βρώμασιν, ταῖς γὰρ ἐν τῇ ἀλλὰ καινησίμῳ ὡς εἴπωμεν, τῇ πρώτῃ Ἀνασασίμῳ ταυτίζομεν ἡ ὅτως κρεοφαγοῦμεν ἀνενδοιάστως, τὰς μέντοι μὴ τῶν Διακαινήσιμον Τεζάδας ἡ Παρασκευὰς μέχρι Πεντηκοστῆς, νηστίμους μὲν ἐκ ἔχωμεν ἀλλὰ τὸ ἑορτάζειν. πλὴν ἐ κρεοφαγοῦμεν ἐν ταύταις ἀλλὰ μὲν γὰρ τῶν ἑορτῶν, τὸ τῆς ἐννάτης νήστιμον καταλύομεν, ἐ ἔλαιον ἡ ἰχθύας προσιέμεθα. ἀλλὰ δὲ τὸ τῶν Ἁγίων Ἀποστόλων ἀλλάγμα, ἐ ὅτι ἐν ταύταις ταῖς ἡμέραις μνείαν ποιούμεθα τῆς τῦ Σῦ Σῳῶσεως, ἡ Κρεοφαγίας, ἀποσιόμεθα. τῦτο γὰρ ἕνεκα ἡ πάσας ταῖς ἡμέραις τῆς Πεντηκοστῆς τοῖς Ἀνασασίμοις Τροπαρίοις, ἡ κατανυκτικὰ, ἡ Σῳῶσιμα ψάλλοντες παραμίγνυμεν τὸ δ' αὐτὸ ποιοῦμεν ἡ ἐν τῇ τῆς Μεταμορφώσεως ἑορτῇ, ὡς ἐν μέσῳ ὄσῃ νηστίμων ἡμερῶν, καὶ ἐν πάσαις ταῖς παννήμοις τῆς Θεομήτορος παννυχίσιν, ἔτι δὲ ἐ τῦ τιμίε Προδρόμε ἡ Βαπτιστῦ Γωάννε τῶν Κορυφαίων Ἀποστόλων Πέτρε ἡ Παύλε ἡ παντὸς Ἀποστόλε ἡ Ἁγίε Ὀπσήμε τε ἐ ἐπιφανῦς. Εἰ δέ τις ἐρεῖ, ὅτι ἐν τῇ Τεζάδι τῆς Μεσοπεντηκοστῆς, ὅλως Σῳῶσιμα ψάλλονται ἀλλὰ πάντα Ἀνασάσιμα. ἀκούσεται, ὅτι τότε κρεοφαγία ἐν ταύτῃ ἐσεῖται ὅταν ἡ Εὐαγγέλιον Ἀνασάσιμον ἐν τῷ ὄρθρῳ ἀναγνωσθῇ. καθὰ δὴ τῦτο γίνεται ἐν τῇ Τεζάδι, ἐ ἐν τῇ Παρασκευῇ τῆς Διακαινησίμε, ὅτι δὲ τοιῦτόν τι γίνεται ὡς μὴ δὲ παραδοθὲν ἡμῖν, ὀξ ἀνάγκης δὲ κρεοφαγήσωμεν. ὅλως δὲ ἐκ ἔστιν ἐπάναγκες τὸ ἐν ταύτῃ τῇ Τεζάδι, ἐ τῇ πρὸ τῆς Ἀναλήψεως τὸν Κανόνα τῦ Πάσχα ψάλλεσθαι, ἐκείνῃ μὲν γὰρ ἕως ἡ τῆς Μεσοπεντηκοστῆς, ἴδιον Κανόνα κέκτηται. αὕτη δὲ ψαλλόμενα ἔχει τὰ τῆς Ἀναλήψεως Προεόρτια. ἐμὲν ἀλλὰ δὲ τύπος τίς ὀπίσημος τῦτο ἡμῖν παραδέδωκεν. Εἰ δέ τις ἴσως λιαν ἐστὶν παρακαλικὸς ἡ φιλέορτος, εἰ βέλεται καὶ πάσας τὰς ἡμέρας τῆς Πεντηκοστῆς, τὸν τοιῦτον Κανόνα ψαλλέτω εἰς κρεοφαγίας γὰρ τῦτο ἀδαμῶς λυσιτελήσει αὐτῷ. εἰ μήποτε νόμοις ἰδίοις ἡ ἐκ τύποις Ἐκκλησιαστικοῖς ἐθέλει καθ' ἑαυτὸν διακυβερνᾶν. ἡ δὲ Ἑβδόμη τῆς Πεντηκοστῆς, κρεοφαγεῖται πᾶσα, σωσωνθείας, καὶ ἐκ ἐξ ἀκριβείας δογμάτων. τὸ λέγειν δὲ τὸν τῆ. Κανόνα τῶν Ἁγίων

Ἁγίων Ἀποστόλων, ὅτι καθαιρείσθω εἴτις Ἐπίσκοπος, ἢ Πρεσβύτερος, ἢ Διάκονος ἐν ταῖς ἡμέραις τῶν ἑορτῶν, ὃ μεταλαμβάνει κρεῶν Ϛοῖνου, βδελυσσόμενος, καὶ οὐδὶ ἄσκησιν, ὡς κεκαυστηριασμένος τὴν οἰκείαν συνείδησιν, καὶ αἴτιος σκανδάλου πολλοῖς γινόμενος, οὐ συνύστησι τὸ μεταλαμβάνειν κρέατος, καὶ ἐν ταῖς Τεσσάσι καὶ ἐν ταῖς Παρασκευαῖς, ἐν αἷς ἂν συνενιχθῇ ἐπιστῆναι ὁποῖαν δήτινα ἑορτὴν. εἰ γὰρ τοῦτον δοίημεν τὸν Κανόνα λέγειν, εὑρήσωμεν τοὺς Ἀποστόλους αὐτοὺς ἑαυτοῖς ἐναντιουμένους. ὡς ἄλλα μὲν ἐν τῷ ξθ' αὐτῶν Κανόνι θεσμοθετοῦντες περὶ τῶν Τεσσάδων καὶ Παρασκευῶν, ἄλλα δὲ ἐν τῷ νγ'. θεσπίζοντας. Ἀλλ' ἐπειδὴ ἦσαν τινὲς τὴν τοῦ κρέατος μετάληψιν καὶ τὴν τοῦ οἴνου πόσιν διαβάλλοντες, καὶ διὰ τὸ βδελύττεσθαι παντελῶς αὐτῶν ἀπεχόμενοι, τούτου χάριν ἀναιροῦντες οἱ Θεῖοι Ἀπόστολοι τὴν τοιαύτην γνώμην αὐτῶν, ὡς μὴ κατὰ ἄσκησιν γινομένην, ἀλλὰ κατὰ αἵρεσιν, ἣν καὶ νῦν οἱ λεγόμενοι Βογόμοι λοιστέργουσι, τὴν τοιοῦτον Κανόνα ἐξέθεντο διὰ γὰρ τοῦτο προσέθεντο καὶ τὸ βδελυσσόμενος, καὶ τὸ οὐδὶ ἄσκησιν, ὥστε τὸ μεταλαμβάνειν κρέατος ἐν ἑορταῖς, ἐν ἐκείναις ταῖς ἑορταῖς ἐκληπτέον, ταῖς ἐφισταμέναις ἐν ἀνεσίμοις ἡμέραις εἰ γὰρ ἐν Τετάρτῃ ἢ Παρασκευῇ ἐπιστῶσι, καὶ τὸ τῶν ἑορτῶν σεβάσμιον ἐν τῇ καταλύσει τῆς νηστείας, καὶ τὸ τῆς νηστείας αἱδέσιμον ἐν μόνῃ μεταλήψει ἐλαίου, ἢ ἰχθύων κατὰ ταύτας τὰς ἡμέρας, ἐκ παντὸς τρόπου συντηρηθήσοντε. ταύτην γὰρ τὴν ἔννοιαν, καὶ τὸ ἀναπεφωνημένον τοῦ Σεβασμίου Πατριάρχου Ἀλεξανδρείας Θεοφίλου περιέχρι Κανόνισμα.

Νικολάου τοῦ Ὁσιοτάτου Πατριάρχου Κωνσταντινουπόλεως, πρὸς Ἀναστάσιον καθηγούμενον τοῦ Σινᾶ ὄρους, διὰ στίχ.

Πολλάκις με ἠξίωσας, Τέκνον εὐλογημένον,
Διὰ γραφῆς δηλῶσαι σοι, πῶς ὀφείλης διάγειν,
Εἰς εὐχὴν εἰς ἐγκρατειαν, εἰς ἀληθεῖ νηστείαν,
Ἔτι δὲ δίαιταν ἁπλῶς, φημὶ τοῦ ὅλου Χρόνου.
Καὶ δὴ πισθεὶς τοῖς Λόγοις σου, ἦξα τῇ σῇ θελήσει.
Ἐχάραξάσοι ὡς ὁρᾷς, τὰ τῇδε γεγραμμένα,
Ἀρχὴν ἔνθεν ποιούμενος, ὅθεν ἄρχεσθαι θέμις.
Σεπτέμβριος εἰσέρχετο, πρῶτος Μὴν τῆς Ἰνδίκτου.
Καὶ δεῖσε πάντως, φυλακὴν ἔχειν ἐν ταῖς νηστείαις
Νηστείαν δὲ ποῖαν, φημὶ τῶν ἡμερῶν τῶν δύο.
Τεσσάδα καὶ Παρασκευὴν, πᾶσαν τοῦ ὅλου Χρόνου.
Ἀλλὰ νηστείαν ἀκριβῆ, ὡς οἱ Πατέραις φάσκουν.
Ἰχθύων τε ἀπέχεσθαι, ἐλαίου τε καὶ οἴνου.
Ξηροφαγίαν λέγοντες, ἅπαξ ἐν τῇ ἐννάτῃ.
Ἀλλάγε σὺ ὡς ἀσθενὴς, οἴνῳ ὀλίγῳ χρῆσαι.
Οἱ Θεῖοι γὰρ Ἀπόστολοι, ἐν τῇ ἡμέραις ταύταις.
Ἀλλάγε καὶ οἱ μετ' αὐτοὺς, Θεῖοι ἡμῶν Πατέρες.
Ἀκρίβειαν ὁρίζουσι, φοβερὰν καὶ μεγάλην.
Ἄρτῳ καὶ μόνῳ τρέφεσθαι, ἅλας τε καὶ λαχανοις.
Καὶ τὸ πόμα ὡσαύτως, δὲ ὕδωρ καὶ μόνον ἔστω.
Εἰ μήπου δι' ἀσθένειαν, τίς ἀδυνάτως ἔχει.
Οἴνῳ ὀλίγῳ χρώμενος, διὰ τὴν ἀῤῥωστείαν.
Τῶν δὲ λοιπῶν ὡς γέγραφα, ἀπέχειν πάμπαν ὅλως
Εἰ μήπου τίς ἀσθένεια, καὶ ἀφορμὴ ἐπέλθῃ.
Καὶ ταῦτα γέγραφα ἁπλῶς, παρὰ πάντα τὸν Χρόνον.
Αὕτη δὲ ἡ ἀκρίβεια τῶν νηστειῶν ὧν γράφω,
Οὐ πρὸς ἡμᾶς τοὺς Μοναχοὺς, ἐγράφη καθὼς οἶδας.
Ἀλλὰ πρὸς πάντας τοὺς Πιστοὺς, καὶ τῆς Χριστοῦ μειρίδος.
Τῶν Μοναχῶν ὡς ἔφην δὲ, ἄλλος ὑπάρχει βίος
Νῦν οὖν ἀπάρξομαι λοιπὸν, τοῦ γράφειν ὧδε πάλιν.
Τὰς ἑορτὰς ἃς λέγομεν, Δεσποτικὰς οἱ πάντες.
Καὶ λύομεν οἱ ἅπαντες, εἰς βρῶσιν τε καὶ πόσιν
Καὶ προτιθέσθω πρότερον, Γέννησις τῆς Παρθένου.
Καὶ Θκοῦ ἀληθῶς, τῆς Πανάγνου Δεσποίνης.
Ὡσαύτως Εἴσοδον αὐτῆς, εἰς Ναὸν τοῦ Κυρίου.
Λοιπὸν ἡ τοῦ Δεσπότου μου, Γέννησις κατὰ Σάρκα.
Ἡ τούτου πάλιν Βάπτησις, δι' ἡμᾶς τοὺς φθαρέντας
Ἀνακαινίσαι θέλοντος, τοῖς Ῥείθροις Ἰορδάνου.
Ἡ τούτου αὖθις ἔλευσις, εἰς Ναόν τε τὸν Θεῖον.
Ἣν πάντες ὀνομάζουσιν, Ὑπαπαντὴν Κυρίου.
Σὺν ταύταις ἡ ἐν τῷ Θαβὼρ, ἔλαμψις τοῦ προσώπου.
Θεοῦ γὰρ οὕτως λέγομεν, Μεταμόρφωσιν Θείαν.
Τῆς παναμώμου καὶ Μητρὸς, τοῦ Θεοῦ κατὰ Σάρκα.
Ἡ Κοίμησις ἡ ἔνδοξος, καὶ ξένη ἐκδημία.
Ἐν ᾗ νηστεία πρὸ αὐτῆς, κανονικῶς τελεῖται.
Ἀρχὴν καὶ τέλος εἴληφαν, αἱ πάντοιμοι καὶ Θεῖαι.
Τῆς Θεοτόκου ἑορταὶ, καὶ Μητρὸς τοῦ Κυρίου.
Ἀρχὴν ἔσχεν ἡ Γέννησις, ἡ Κοίμησις τὸ τέλος.
Προσκείσθωσαν αἱ ταῖς λοιπὸν, αἱ δύο τοῦ Προδρόμου.

Η Γέννησις ἡ πάντιμος, καὶ παράδοξος ὄντως.
Τῆς Κεφαλῆς ἡ ἐκτομὴ, ἣν ὑπέστη ἀδίκως.
Ε πισυνάψεις οὖν αὐταῖς τῶν Θείων Ἀποστολων.
Π αύλου φημὶ τοῦ Κήρυκες, τοῦ Κορυφαίου Πέτρου.
Ε ν ταύταις οὖν ταῖς ἑορταῖς, εἰ μέλλεις καταλύειν.
Ε ν αἷς ὑπάρχει ἡ τετρὰς, τῶν ἡμερῶν ἡ ἕκτη.
Ο ψάριον καὶ ἔλαιον, κατάλυε καὶ μόνον.
Ε ἰ δέ γε θέλεις καὶ τυρὸν, οὐδέν μοι διαφέρει.
Ε ν ταῖς τρισὶ δὲ ἑορταῖς, τυροῦ ἀπέχου μόνου.
Τ ῶν Ἀποστόλων τῶν Σοφῶν, καὶ δύο τοῦ Προδρόμου.
Τ αῖς δὲ λοιπαῖς τῶν ἑορτῶν, ἐν αἷς ἐστὶν ἀργία.
Α ργίαν δὲ ποῖαν φημὶ, τῶν ὡρῶν καὶ τοῦ ἔργου.
Τ ὴν νηστείαν κατάλυε, εἰς ἔλαιον καὶ οἶνον.
Α λλο δὲ τί, μὴ ἅψεσαι, ἐν ταύταις ταῖς ἡμέραις.
Κ αὶ μήμοι λέγε τῶν πολῶν, τοὺς ψόγους καὶ τοὺς λόγους.
Α λλὰ σαυτὸν εὐτρέπιζε, πρὸς τὴν μέλλουσαν κρίσιν.
Ε ν ᾗ οὐκ ἔστι πρόφασις, οὐδ' ἀπόκρισις λόγου.
Μ ὴ δὲ προφάσεις προσφερε μηδὲν ἔχουσαι Λόγον.
Α ρκέσθητι οἷς ἔγραψα, καὶ μηδὲν πλέον ζήτει.
Ε ἰδὼς τὴν ἀγροικίαν μου καὶ τὸ στενὸν τοῦ Λόγου.
Υ πόθεσις γὰρ πρόκειται, πλείων τῶν γεγραμμένων.
Κ αὶ δὴ λοιπὸν ἀπάρξομαι, τοῦ γράφειν ταῦτα πάλιν.
Α ρχεται Τεσσαρακοστὴ Ἁγία καὶ μεγάλη.
Κ αὶ ταύτης ἡ ὑπόθεσις ὥσπερ ἄνωθεν εἶπον.
Κ αὶ μήσοι δόξῃ περιττὸν, ὃ μέλλω γράφειν ἄρτι.
Α λλον σκοπὸν ἔγραψα μὲν, ἄλλης νηστείας ὅρον.
Τ ῆς νῦν λοιπὸν ἡ δίαιτα, ὅλως ἐξηλλαγμένη.
Δ ιότι καὶ πανθαύμαστος, καὶ φοβερὰ τυγχάνει.
Γ νώσῃ δὲ τοῦτο ἀκριβῶς, εἰ νουνεχὼς προσέχεις.
Τ ὸ πρῶτον τοίνυν στάδιον, τῆς Θείας Ἑβδομάδος.
Ο ἱ πλείους τῶν ἀγωνιστῶν, ἄσιτοι περαιοῦσι
Σ ὺ δὲ ὡς ἀσθενέστερος, ἄρτον ὀλίγον ἅψῃ.
Π αρὰ μικρὸν τῆς χρείας σου, ἐσθίων καθ' ἡμέραν.
Ω ς ἔφη ὁ Πατὴρ ἡμῶν, Θεόδωρος Στουδίτης.
Τ αῖς πέντε τοίνυν φύλαξον, ἡμέρας ὡς προέφην.
Τ ὰς δύο δὲ κατάλυσον, εἰς ἔλαιον καὶ οἶνον,
[illegible] ἔτι ἄλλο εὑρεθῇ, ἐκ τῶν ὀστρακοδέρμων.
[illegible] ταν δ' ἡ πρώτη Ἑβδομὰς σὺν Θεῷ πέρας λά-
[illegible]
[illegible] τρεῖς ἡμέρας φύλαξον τῶν λοιπῶν Ἑβδομάδων.
[illegible] τάρτην καὶ Παρασκευὴν ὁμοῦ καὶ τὴν Δευτέραν.
[illegible] ὰς δύο δὲ κατάλυε, εἰς οἶνον δὲ καὶ μόνον.

Ε ἰ δὲ Ϛ ταύτας δύνασαι, φυλάττειν ὡς τὰς ἄλλας.
Ε ξεις πλεῖον ὀφέλειαν, τὴν Ἐντολὴν πληρώσας.
Σ αββάτῳ καὶ Κυριακῇ, Λύε ὡς προεγράφη.
Ι χθύος μὴ κατάψεσθαι, ἐν ταύταις τῶν ἡμέραις.
Ε ἰ μὴ τοῦ Εὐαγγελισμοῦ τὴν ἑορτὴν Ϛ μόνην.
Τ ὴν δὲ σεπτὴν καὶ πάντιμον μεγάλην Ἑβδομάδα.
Ω ς τοῦ Κυρίου ἔχουσαν, τὸ Σωτήριον Πάθος.
Ο ὕτως σεδεῖ φυλάξεσθαι, ὡς οὐδὲ μίαν ἄλλην.
Α παξ καὶ μόνον λύσαι δὲ, ἐν τῇ μεγάλῃ Πέμπτῃ.
Μ ᾶλλον μὲν οὖν εἰδύνασε, τὰς δύο μοι συνάψας.
Π αρασκευὴν καὶ Σάββατον, ἄσιτος διαμείνας.
Ε ως τὸ τέλος δέξεται, ἡ Θεία Λειτουργία.
Κ αὶ οὕτως ἐστιάθητι, εὐχαριστῶν Κυρίῳ.
Ι δοὺ λοιπὸν ἐφέστηκεν, ἡμέρα λαμπροφόρος.
Η τοῦ Χῦ Ἀνάστασις Πιστῶν ἡ εὐφροσύνη.
Π ατήσας γὰρ τὸν Θάνατον, ὡς Θεὸς καὶ Δεσπότης.
Ε ξανέστη τριήμερος ὥσπερ πάλαι προεῖπεν.
Α πόθου τοίνυν καὶ αὐτὸς, τὸν πενθῆρι χιτῶνα.
Κ αὶ τὴν νηστείαν σχολάζε οὐκ ἔστι γὰρ νηστεία.
Α λλ' εὐφροσύνη καὶ χαρὰ, ὡς Μοναχοῖς ἁρμόζει.
Ε ν ταῦθα δὲ γενόμενος, βούλομαι τί προσθῆναι,
Ε κ τῶν πανσόφων Ϛ χρυσῶν, Λόγων τοῦ Χρυσοστόμου.
Ε κεῖνος γὰρ ἐφθέγξατο, εἰς ἕνα τούτων οὕτως.
Ε ἰ καὶ παρῆλθεν ὁ καιρὸς, τῆς παντίμου νηστείας.
Α λλ' ἡ αὐτῆς ὠφέλεια, ἐν ἡμῖν ἀεὶ ἔστω.
Ο θεν κἀγώσοι παραινῶν, ᾧ δέπως ταῦτα γράφω.
Ε ἰτάχα καὶ παρήλασεν, ὁ τῆς νηστείας χρόνος.
Α λλὰ τῆς ἐγκρατείας δὲ παρέδραμεν οὐδ' ὅλως.
Κ αὶ δεῖσε ταύτην ἀσφαλῶς, ὡς τιθηνὸν κατέχειν.
Κ ἂν γὰρ διέλθῃ Ἑβδομὰς, τῆς Διακαινησίμου.
Μ ονοπροσόπως φύλαττε, Τετράδα καὶ τὴν ἕκτην.
Τ υροῦ ἀπέχου καὶ Ὠοῦ, τῶν δὲ λοιπῶν οὐκ ἔτι.
Α λλ' ἔση νῦν ἐλεύθερος, ἐν ταύταις τῶν ἡμέραις.
Ν ηστεία γὰρ οὐ γέγραπται, οὐδὲ γονυκλισία.
Τ αύτας γὰρ τὰς πεντήκοντα, οἱ θεῖοι ἡμῶν Πατέρες.
Α νακυκλοῦντες ἔφασαν, ἡμέραν εἶναι μίαν.
Κ αὶ περὶ τούτου δὲ λοιπὸν, ἀρκέσθητι ἐν ταῦτα.
Α γὼν γὰρ μοι ἐπέκειται, πάλιν ἐντεῦθεν ἄλλος.
Α ἱ τρεῖς οὖν Τεσσαρακοσταὶ, κατελήφθησαν οὕτως.
Κ αὶ πλέον ἡ τὸν Αὔγουστον τέλου μένη νηστεία.
Η ντινες ἁβροδίαιτοι, διαβάλλουσι ταύτην.
Κ αὶ περιτούτων δεῖ εἰπεῖν, ὡς δυνατὸν ὑπάρχει.
Κ αὶ πρῶτον μὲν δηλώσωμεν, περὶ τῶν Χριστοῦ Γεννῶν.
Π αράδοσιν ἐλάβομεν, ἐκ τῶν ἔκπαλαι χρόνων.
Τ αύτῃ τῇ Τεσσαρακοστῇ, μονοσιτίαν ἔχειν.
Α λλ' οὐδ' ἰχθύων ἅπτεσθαι, ἐν τῶν τρισὶν ἡμέραις.
Δ ευτέραν τρίτην λέγω δὴ, σὺν αὐτῶν καὶ τὴν Πέμπτην.
Τ ετράδα καὶ Παρασκευῇ, οὐκ ἔλαιον οὐκ οἶνον.

Σαββάτῳ, καὶ Κυριακῇ, πάντων μεταλαμβάνειν.
Καὶ ἄλλις μὲν περὶ αὐτῆς, ἀλλ' οὐδὲν πλέον γράφειν.
Ἀνάγκη τοίνυν διελθεῖν, περὶ τῶν τελευταίων.
Σωφροσύνη κεκράτηκεν, ἐν ταῖς νηστείαις ταύταις.
Δὶς δὲ ἡμέρας ἐσθίειν, ἀκούομεν παρ' ἑκάστου.
Οἶμαι δὲ δεῖν τὸν καιρὸν, ὃν πανταχοῦ δὴ τοῦτο.
Ἀλλ' ἐπὶ σωφροσύνῃ δεῖ πρόσεχειν ἡμᾶς ὅλως.
Σὺ δὲ τὸ πῶς, καὶ δεῖν, πράττεται τοῦδε λέγειν.
Ἀλλ' ἐρευνᾶν, καὶ ἀκριβῶν, τοὺς λόγους τῶν Πατέρων.
Καὶ τοὺς Κανόνας τῶν Σοφῶν, καὶ Θείων Ἀποστόλων.
Δι' ὧν, καὶ τὸν ἡμέτερον, ὅπως βίον ῥυθμίζειν.
Ὅπως εἰς τὴν ἀκρίβειαν, καὶ τούτων ἔχειν θέλεις.
Ζήτησον ὅπισθεν μικρὸν, ἐν τῇ τῶν ΞΒ γέννων.
Κἀκεῖ εὑρήσεις ὃ ζητεῖς, καὶ ὅπερ βούλει πράττειν.
Ἐν μόναις δὲ ταῖς Τεσσαρσὶν, ὅπως ἐσθίωσι
Ἐν τῇ χωνήσει τοῦ ΧΥ, τῶν Θεοφανείων.
Καὶ μὴν, καὶ τῇ Ὑπαπαντῇ, σὺν τῇ Μεταμορφώσει.
Καὶ ταῖς λοιπαῖς ἀρκέσθητι, εἰς ἔλαιον, καὶ οἶνον.
Καὶ τίνες δὲ ὑπάρχουσι, καταλεκτέον ἤδη.
Τῶν Ἀποστόλων τὰ σεπτῶν, καὶ μύστων τοῦ ΚΥ.
Δωδεκὰς ἡ Θαυμασία, καὶ πάντιμος, καὶ Θεία.
Τῶν Μαρτύρων, τῶν σεπτῶν, ὧν ἔχομεν ἡ μνήμη.
Σὺν τούτοις τῶν Ἱεραρχῶν, καὶ Ἱερομαρτύρων.
Σκηνὴν ἡ ὁμήγυρις, προσεχόντων τῶν ἄλλων.
Ἐν ταύταις οὖν ταῖς ἑορταῖς, ἔκλυε τὴν Νηστείαν.
Εἰς βρῶσιν μόνον ἔλαιον, καὶ εἰς τὸ πόσιν οἶνον.
Ἄλλο τινὸς μὴ ἅψειεν, ἐν ταύταις ταῖς ἡμέραις.
Καὶ μὴ μοι μέμφοιτο λοιπὸν, ὡς ἀκριβολογοῦντι.
Οὐ γὰρ ὡς κανονίζοντες, οὐδὲ νομοθετοῦντες.
Οὐδὲ πρὸς τὴν ἀκρίβειαν, τὴν τῶν Πατέρων λέγω.
Ἀλλὰ πρὸς τὴν ἀσθένειαν, τὴν ἡμετέραν γράφω.
Εἴτι οὖν προσθήσω μικρὸν, ἐν τούτοις ἀναγκαῖον.
Καὶ μὴ μεμφθῶ ὡς ὕστερον τοῦτο δι' ἀσαφήσας.
Τῶν Ἑβδομάδα ἐν λαλῶ, τὴν πρὸ τῆς ἀποκρέω.
Ἣν καὶ ἐπονομάζομεν, τῶν τοῦ Ἀρτζιβυρείου.
Οἱ πλείστοι ἔθος ἔλαβον, ἀδεῶς κατὰ λύειν.
Τὴν ἑβδάδα, καὶ Παρασκευὴν, οἱ Κοσμικοὶ τὸ κρέας.
Σαύτους, καὶ οἱ Μοναχοὶ, τυφῶ μεταλαμβάνειν.
Κακῶς νοοῦντες ἀληθῶς, καὶ ὀρθοτομοῦντες ὁμοίως.
Οἱ μὲν φυλῆς κατάγονται, ἐκτὸς τῶν Ἀρμυρίων.
Καὶ εἰ χον, καὶ τὴν αἵρεσιν, τῶν τοῦ Ἀρτζιβυρείου.

Καλῶς ποιοῦσι λύοντες, ἅπασαν ὑποψίαν.
Οἱ δὲ Πιστοὶ Ὀρθόδοξοι, εἰσὶ καὶ ἐκ προγόνων.
Εἰς μάτην προφασίζονται, λύοντες τὴν Νηστείαν.
Κεῖνοι γὰρ νηστεύουσιν, ὅλην τὴν Ἑβδομάδι.
Ἄρτῳ μόνῳ ξεφόμενοι, ἁλατίτῃ, καὶ ὕδωρ.
Ἡμεῖς δὲ καταλύομεν, ἀπ' αὐτῆς τῆς Δευτέρας.
Ὁποῦ ἐκτετε δείκνυται, μὴ κοινωνοῦντες τούτοις.
Καὶ μάτην προφασίζονται, ὅτι τοῦ Ἀρτζιβυρείου.
Ἐντεῦθεν ἐβουλόμην νοῦν, κατοπτεῦσαι τὸν Λόγον.
Ἀλλὰ βίαιοι πρόσεσι, μικρόν τινα προσθῆναι.
Δέδοικα δὲ μὴ φορτικὸς, φανῶμαι σοι ἐν τούτοις.
Τὸν κλισίας δὲ ποιεῖν, πάντα τὸν χρόνον ὅλον.
Εἰ μήπε τύχῃ ἑορτὴ, Νηστείας μὴ παρούσης.
Ἐν ᾗ ἀργία γίνεται, ΣΤῶν ὡρῶν, καὶ ἔργων.
Μὴ φοβηθεὶς τὸν ἀριθμὸν, ὀλίγος ὑπάρχει.
Δώδεκα μέλλεις ἀριθμεῖν, ἐν τῶν λοιπῶν ἡμέρας.
Τὰς δέγε Τεσσαράκοντας ψηφίζειν δεκαπέντε.
Ἐν τῇ τῶν ΧΥ γέννων δὲ καὶ τῶν δύο λοιπῶν σοι.
Τοῦ ἄλλου Τεσσαράκοντος, ἧς ἡ κλῆσις μεγάλη.
Διαπλασιάζεις ταύτας τὲ, εἴγε Σὲ κοπιάζεις.
Εἰ δὲ βαρύσοι φαίνεται, τὸ ἐν μέσῳ τοσαύτας.
Κἂν τὰς εἰκοσιτέσσαρας, πλήρωσον χωρὶς λόγου.
Οὐ μόνον ἅπαξ ἢ δεύτερον τῆς ἡμέρας τελέσας.
Ἀλλ' ὡς ἐδίδαξεν ἡμᾶς, Δᾶ ὁ Θεοπάτωρ.
Θεὸν αἰνεῖν προτρέπεται, ἑπτάκις τῆς ἡμέρας.
Ψηφίσας ἓν ὡς νυνεχὴς, εὑρήσεις ὅπερ λέγω.
Πρὸ φωτὸς ἀπάρξομαι, καὶ λήξω εἰς τὸ σκότος.
Ὄρθρος, καὶ πρώτη, τρίτη τε, ἕκτη τε, ΣὲννάτηΣ.
Ἑσπερινὸν, ἀποδειπνον, σὺν τοῖς μεσονυκτίῳ.
Γὰρ καὶ νῦν σε πλήρωκα τὴν αἴτησίν σου φίλε.
Ὡς ἐφικτὸν ὑπῆρχεμοι, ΣὺΣ δωσάμενός εἰχον.
Σὺ γὰρ καλῶς ὁπίσασαι τὴν ἐμὴν ἀγροικίαν.
Καὶ ὡς λως ἰδιωτικὸν, πρὸς τὸ τοιαῦτα γράφειν.
Εἰ δὲ τὸ κῇ δωσάμην, φίλον Θεῷ ὑπάρχει.
Ἕξαι καὶ σὺ ὡς ἀγαθὸς, τὴν προαίρεσιν μένων.
Ἐν ταῦθα σαίνομαι λοιπὸν, τῷ σκοπῷ, καὶ τῷ λόγῳ.
Εἰ μὲν ἀποδεκταίασοι, Θεῷ χάρις ἐν τούτῳ.
Εἰ δὲ πολλάκις φορτικὰ, ὡς βάλῃ λοιπὸν πράττε.
Ὁ δὲ τῶν πάντων ΚΣ, καὶ Θεὸς, καὶ δεσπότης.
Θέλων πάντας σῶζεσθαι, δι' φιλανθρωπίαν.
Αὐτὸς σε καὶ στηρίξειεν, ἐν ἀγαθοεργείᾳ.
Τὸ πληρωτὴν γένεσθαισε, τὴν αὐτοῦ ἐν ταλάντων.
Καὶ Βασιλείας Οὐρανῶν ὠφθῆναι κληρονόμον.
Ἐν τῷ ΧΩ Κυρίῳ μεθ', ᾧ δόξα, καὶ τὸ κράτος.
Εἰς αἰῶνας αἰώνων τε, καὶ ἐπ' αἰώνων, Ἀμήν.

Ἀναστασίου Ἐπισκόπου Καισαρείας τῆς Παλαιστίνης περὶ τοῦ Ἀρτζιβυείου.

Τῇ Ἑβδομάδι πρὸ τῆς Ἀποκρέω, λύουσιν οἱ Ἀρμένιοι τὸ Ἀρτζιβύειν. εἴστινας, ὅλως νηστεία οὐκ ἔστιν· ὁ δὲ καταμόναι ἄφαγον Μοναχός, τῇ Τεσσαράδι καὶ τῇ Παρασκευῇ, νηστεύων ἔσαι, ἐν ταύταις ταῖς ἡμέραις, καὶ πᾶς Χριστιανός, καὶ γὰρ οἱ Ἀρμένιοι ὅλην τὴν, Ἑβδομάδα νηστεύουσιν. ἡμεῖς δὲ μίαν ἡμέραν ἐὰν καταλύσωμεν, καὶ φάγωμεν, καταλύομεν αὐτῆς τὴν αἵρεσιν. πόσῳ μᾶλλον. Τρίτην καὶ Πέμπτην καὶ Δευτέραν. τὰς δὲ δύο ἡμέρας ἵνα φυλάξωμεν ὡς καὶ πάντων, ἦσαν Τεσσαράδαν, καὶ Παρασκευήν.

Ὁμοίως καὶ περὶ τῆς Τεσσάδος καὶ Παρασκευῆς τῆς Τυροφάγου, λέγει ὁ δ'. Κανὼν τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικηφόρου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, ἕτως ὅτι δεῖ νηστεύειν τὰς Μοναχὰς τῇ Τεσσάδι καὶ τῇ Παρασκευῇ τῆς Τυροφάγου, καὶ μὴ τὴν Προηγιασμένην ἐσθίειν, τυρόν, καὶ Ὠά. Ἀναζέπει δὲ ὁ τοιοῦτος Κανὼν, τὴν τῆς Ἰακωβιτῆς καὶ τοῦ Τεσσαδιτῆς αἵρεσιν.

Τῶν ἐν Ἀντιοχείᾳ Ἁγίων Πατέρων, περὶ τῆς μεγάλης Ἑβδομάδος.

Ἕσωγινώσκων, ἀσφαλῶς πᾶς Χριστιανός. ὅτι λελυμμέναι ἀπὸ τῶν Κανόνων ἐξ Ἑβδομάδαι εἰσὶν ἐν ὅλῳ τῷ Ἐνιαυτῷ. ἤγουν ἡ Προφωνήσιμος, ἣν καὶ Ἀρτζιβύειν ὄνομα ζομεν ἡ Τυροφάγος. ἡ Διακαινήσιμος ἥτε τῶν Ἁγίων Πνεύματος, καὶ τὸ Δωδεκαήμερον πλὴν πᾶς ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται.

Καὶ πάλιν λελυμέναι εἰσὶν αἱ Δεσποτικαὶ πᾶσαι ἑορταὶ. τῆς τε Παναγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, καὶ τῶν τιμίων Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου, καὶ τῶν Ἁγίων, καὶ Πανευφήμων Ἀποστόλων, Πέτρου καὶ Παύλου. καὶ ὅσων λαχεῖ ἡμέρα ἐν τῶν Δωδεκα Ἀποστόλων. πλὴν καὶ τοῦ Θείου Ἀποστόλου, πᾶς ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται. τοιοῦτος, ἔτε ἀφειδῶς εἰς πάντα τὰ βρώματα δεῖ καταλύειν, ἐδὲ πάλιν νηστεύειν πλείους περὶ τοιαύτου ἑορτοῦ· ἀλλὰ νηστεύειν μὲν τὸν Κοσμικὸν προσήκει τὸ κρέας καταλύειν δὲ εἰς τυρὸν, καὶ εἰς τὰ λοιπὰ ἄφαγα τοιαύτου ἑορτοῦ, τὸν δὲ Μοναχὸν, νηστεύειν ἀπὸ τυροῦ, καὶ εἶτι ἀπ' αἵματος πέφυκε. καταλύειν δὲ εἰς ἔλαιον, καὶ οἶνον καὶ ἰχθύας, καὶ αὐτὸς ἄφαγα τοῦ ἑορτοῦ. εἰδέτις ἄφαγα τοῦ ἑορτοῦ ἀφροδυμός τε λάχει καὶ καταλύσει εἰς βρῶσιν, ξένον ἐδέν. ὅστις δὲ χωρεῖς τῆς εἰρημένων ἑορτῆς τε καὶ Ἑβδομάδων, λύσει ἑτέραν Τεσσαρὰδα καὶ Παρασκευῆ, τῶν Θείων Κανόνων, δείκνυται παραβάτης καὶ ἄπλητος, ὁμοῦ καὶ κοιλιόδουλος. δικαίως καὶ δικαίρως κατακεισθήσεται.

Ὅσοι δὲ κρεοφαγοῦσι Τεσσάδα καὶ Παρασκευὴν τῆς Ἀποκρέω. φημὶ. παρανομοῦσιν ὄντως δικαιωνῆς, ὡς λύοντες ἀναιδῶς τὰ προοίμια τῆς νηστείας.

Ὅσοι δὲ σφαττομένου Ζώου λάβωσιν τὸ αἷμα, καὶ ἐψήσαντες φάγωσιν, καὶ οἵτοι Θεῖον Νόμον παρέβησαν, καὶ τοὺς τῶν Ἁγίων Κανόνας ἠθέτησαν. ἡδέπω καὶ ἀντιλέξειμοί τίς ὅτι ὀλιγοστὸν αἷμα λαμβάνω, τὸ δὲ πλεῖσον συγχωρῶ τῷ σφαγῷ κενῶσαι ἐπὶ τῆς Γῆς. λέγω καὶγώ, ὅτι ὁ Ἀδὰμ ὀλίγον Καρπὸν ἐκ τοῦ Ξύλου λαβὼν καὶ φαγών, ὅλον πάντως παρέβη τὸν Ἐντολὴν, καὶ σὺ αὐτὸς ἀφῇς τὸ ὀλίγον ἐκεῖνο ὃ ἔλαβες αἵματος. ὅλον κατέλυσας τὸν τοῦ Θεοῦ Ἐντολὴν, τὸν φάσκουσαν Ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα. πλὴν κρέα ἐν αἵματι ψυχῆς αὐτοῦ ἐφάγεσθαι. καθάπερ καὶ προλαβὼν ἔλεγε τῷ Ἀδὰμ, εἰ φάγητε ἀποθάνητε. ὅτε καὶ τῷ Νῶε καὶ ἡμῖν ἐνετείλατο λέγων ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα πλὴν κρέα ἐν αἵματι ψυχῆς αὐτοῦ ἐφάγεσθε, καὶ αἱ Πράξεις τῶν Ἀποστόλων ξανῶς ἀπεφώναντο Ἀπέχεσθε φησὶν αἵματος, καὶ πνικτοῦ καὶ θυσιμαίου, καὶ τῆς πορνείας, καὶ πάλιν ὁ ἑξηκοστὸς τρίτος Κανὼν τῶν Ἀποστόλων λέγει, Εἴτις Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ Διάκονος ἢ ἕτερος τίς φάγη κρέα ἐν αἵματι ψυχῆς αὐτοῦ, ἢ θηριάλωτον, ἢ θυσιμαῖον καθαιρείσθω. τοῦτο γὰρ φησὶ καὶ ὁ Νόμος ἀπεῖπεν. εἰδὲ Λαϊκός ἐστιν, ἀφορίζέσθω.

Καὶ ἡ ἐπὶ Ἰουστινιανοῦ Συνόδος εἰς τὸν, ξ ζ'. Κανόνα, τὸν ζυφὸν τοῦ αἵματος, μὴ μεταλαμβάνειν ὅλως ἐφθέγξατο. εἰδέτις ἐσθίειν αἷμα, εἰ μὲν Κληρικός ἐστι, καθαιρείσθω. εἰδὲ Λαϊκός ἀφορίζέσθω.

Ὥρα λοιπὸν ἀγαπητὲ τῆς Ἀποστολικῶν Διατάξεων τὸν ἀκριβειαν. καὶ τῆς Ὁσίων Πατέρων τὸν δικαιώτατον ὅρον. πῶς ταῖς γραφικαῖς ἑπόμενοι ῥήσεσι, νομοθετοῦσι δικαιώτατα, καὶ ὅτι οἱ τὸ αἷμα ἐσθίοντες, οὐκ ἔλαττον ἔχουσιν ἔγλημα τῆς πορνευόντων, καὶ τῆς ἐσθιόντων πνικτὰ, καὶ θυσιμαῖα καὶ γὰρ μάλα δικαίως τοῦτο κωλύουσιν. ἐπειδὴ γὰρ ἡ τοῦ Ζώου ψυχὴ, τὸ αἷμα αὐτοῦ ἐστίν, ὅρισεν ὁ Θεὸς, ἵνα τὸ αἷμα ὡς ψυχὴν ἀποδίδοσθαι πρὸς αὐτὸν. τὸ σῶμα ἤτοι τὸ κρέας φάγεις αὐτὸς. ὥστε τὴν πλείονα μοῖραν μᾶλλον καὶ πιώτεραν σοὶ δέδωκεν. ἐὰν δὲ καὶ ἀμφότερα φάγῃς, γέγονας πλεονέκτης, καὶ κακὸς μεριστὴς φαγὼν σὺν τὴν μοῖραν τὴν σὴν, καὶ τὴν μοῖραν τοῦ Θεοῦ. καὶ ἔφαγες σύμψυχον ὅλον τὸ Ζῶον. καὶ ἐλογίσθη νεκρὸν, ὅτε γὰρ ὅτι Πίνακος τὸ αἷμα κρατήσεις, ἢ τὴν σφα-

σφαγὴν καταφράξεις. Ἐ εἰς τὰ ἐνδόσθια τοῦ κτήνους ἐναπομείνη τὸ αἷμα νεκρὸν ὄντως, Ἐ πνικτὸν τοῦτο λογίζεται, καὶ ὁ τοῦτο φαγὼν, ὄντως ἔφαγε κρέα ἐν αἵματι ψυχῆς αὐτοῦ, καὶ παρέβη τὴν ἐντολὴν τοῦ Θεοῦ.

Ἐκτῆς Ἀποστολικῶν Διατάξεων.

Ψας ἡμέρας τῆς τοῦ Κυ ἑορτῆς φυλάσσεσθε, καὶ πρώτην μὲν τὴν Γενέθλιον, μεθ' ἣν τὴν Ἐπιφάνειαν, εἶτα τὴν νηστείαν τῆς Τεσσαρακοστῆς, μνήμην περιέχουσαν, τῆς τοῦ Κυ πολιτείας, καὶ νομοθεσίας, ἐπιτελείσθω δὲ ἡ νηστεία αὕτη, πρὸ τῆς νηστείας τοῦ Πάσχα. ἀρχομένη μὲν ἀπὸ Δευτέρας, πληρουμένη δὲ, εἰς Παρασκευὴν, μεθ' ἧς ἀπονηστεύοντες, ἄρχεσθαι τῆς Ἁγίας τοῦ Πάσχα Ἑβδομάδος νηστεύοντες περὶ τῶν ἀπολλυμένων Ἰουδαίων, οὕτως γὰρ παρήγγειλεν ὁ Κς ἡμῖν νηστεύειν τὰς ἓξ ἡμέρας ταύτας διὰ τὴν τῶν Ἰουδαίων παρανομίαν, πενθεῖν αὐτοὺς παρακελευσάμενος, ἐπὶ τῇ ἀπωλείᾳ αὐτῶν, Ἐ γὰρ αὐτὸς αὐτοῖς ἐδάκρυσεν, ἐν δὲ ταῖς ἡμέραις τοῦ Πάσχα, νηστεύετε, ἀρχόμενοι ἀπὸ τῆς Δευτέρας, μέχρι τοῦ Σαββάτου, ἡμέρας ἕξ, μόνῳ χρώμενοι ἄρτῳ, Ἐ λαχούνοις, καὶ ὕδατι, ἡμέραι γὰρ εἰσὶ πένθους. καὶ οὐχ ἑορτῆς, αὐτὸ δὲ νηστεῦσαι τὸ Σάββατον, οὐχ ὅτι δεῖ τὸ Σαββατον νηστεύειν, κατάπαυσις δημιουργίας ὑπάρχον, ἀλλ' ὅτι ἐκεῖνο μόνον χρὴ νηστεύειν τοῦ δημιουργοῦ ἐν αὐτῷ ἔτι ὑπὸ Γῆν ὄντος ἐν αὐτῇ γὰρ αὐτῶν τῇ ἑορτῇ ἔσχον τὸν Κν, ὅπως πληρωθῇ τὸ, ἔθεντο τὰ σημεῖα αὐτῶν ἐν μέσῳ τῆς ἑορτῆς αὐτῶν, καὶ οὐκ ἔγνωσαν, τὴν μὲν Παρασκευὴν, Ἐ τὸ Σάββατον, ὁλόκληρον νηστεύετε, εἰδυνατὸν μηδενὸς γευσάμενοι μέχρις ἀλεκτροφωνίας νυκτὸς, εἰδέτις ἀδυνατεῖ τὰς δύο συναπτεῖν ὁμοῦ, φυλασσέσθω κἂν τὸ Σάββατον, λέγει γὰρ ὁ Κς περὶ αὐτοῦ, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ Νυμφίος, τότε νηστεύουσιν ἐν ἐκείναις ταῖς ἡμέραις, ἐν ταύταις οὖν ἤρθη ἀφ' ἡμῶν ὑπὸ τῶν παρανόμων Ἰουδαίων, καὶ τῷ Σταῷ προσεπάγη, διὸ παραινοῦμεν, Ἐ ὑμῖν νηστεύειν ταύτας, ὡς καὶ ἡμεῖς ἐνηστεύσαμεν, ἐν δὲ ταῖς λοιπαῖς τῶν πρὸ τῆς Παρασκευῆς, ἑσπέρας ἕκαστος ἐσθιέτω, ἢ ὁ πως ἄντις δύναιτο ἀπὸ τῆς Δευτέρας, μέχρι τῆς ἀλεκτροφωνίας, ἀπονηστιζόμενοι ἐπιφωσκούσης μιᾶς Σαββάτου, ἥτις ἐστὶν ἡ Κυριακὴ, ἀπὸ τῆς ἑσπέρας, ἕως ἀλεκτροφωνίας, ἀγρυπνοῦντες, καὶ προσευχόμενοι, καὶ ἀναγινώσκοντες τὸν νόμον, Ἐ τοὺς Ψαλμοὺς, μέχρις Ἀλεκτρυόνων κραυγῆν, καὶ παυσάμενοι τοῦ πένθους ἡμῶν, δεήθητε τοῦ Θεοῦ, ἐπιστρέφηναι τὸν Ἰσραὴλ, Ὃ

λαβεῖν αὐτὸς μετανοίας τρόπον, καὶ τῆς ἀσεβείας ἄφεσιν, ὅτι ὁ μὲν ἀλλόφυλος Κριτὴς, νιψάμενος τὰς χεῖρας εἶπεν, Ἀθῷος εἰμὶ ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου, ὑμεῖς ὄψεσθε, ὁ δὲ Ἰσραὴλ ἐπεφώνησε, Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, Ἐ ἐπὶ τὰ Τέκνα ἡμῶν, καὶ Οὐκ ἔχομεν Βασιλέα εἰ μὴ Καίσαρα. ἀνάσταντος δὲ τὸν Κυ, προσενέγκατε τὴν θυσίαν ὑμῶν, περὶ ἧς ὑμῖν δι' ἡμῶν διετάξατο λέγων, Τοῦτο ποιῆτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, καὶ λοιπὸν ἀπονηστεύετε εὐφραινόμενοι, καὶ ἑορτάζοντες, ὅτι ὁ Ἀραβὼν τῆς Ἀναστάσεως ὑμῶν Ἰς Χς, ἐγήγερται ἐκ νεκρῶν, καὶ τοῦτο ὑμῖν ἔστω νόμιμον αἰώνιον ἕως τῆς συντελείας, μέχρις ἂν ἔλθῃ ὁ Κς, καὶ πάλιν ἀπὸ τῆς πρώτης Κυριακῆς ἀριθμήσαντες ἡμέρας Τεσσαράκοντα. ἑορτάσατε τὴν ἑορτὴν τῆς Ἀναλήψεως τοῦ Κυ, Ἐ μετὰ ἡμέρας δέκα τῆς Ἀναλήψεως ἥτις ἀπὸ τῆς πρώτης Κυριακῆς, Πεντηκοστὴ γίνεται, ἑορτὴ μεγάλη ὑμῖν ἔστω, ἐν αὐτῇ γὰρ ὥρᾳ Τρίτη, ἀπέστειλεν εἰς ἡμᾶς ὁ Κς τὴν δωρεὰν τοῦ Ἁγίου Πνς, Ἐ μετὰ τὸ ἑορτάσαι ὑμᾶς τὴν Πεντηκοστὴν, ἑορτάσατε μίαν Ἑβδομάδα, καὶ μετ' ἐκείνην νηστεύσατε. δίκαιον γὰρ καὶ εὐφρανθῆναι ἐπὶ τῇ ἐκ Θεοῦ δωρεᾷ, Ἐ νηστεῦσαι μετὰ τὴν ἄνεσιν, καὶ γὰρ Μωϋσῆς, καὶ Ἡλίας ἐνήστευσαν ἡμέρας Τεσσαράκοντα, καὶ Δανιὴλ Ἑβδομάδας τρεῖς, ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγε, καὶ κρέα, καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα αὐτοῦ, μετὰ δὲ τὴν Νηστείαν ταύτην, πᾶσαν Τετράδα, καὶ Παρασκευὴν, προτασσόμεν ὑμῖν νηστεύειν, καὶ τὴν περισσείαν ἡμῶν τῆς Νηστείας πένησιν ἐπιχορηγεῖν, πᾶν μέντοι Σαββατον, ἄνευ τοῦ ἑνὸς, Ἐ πᾶσαν Κυριακὴν ἐπιτελοῦντες, Συνόδους εὐφραίνεσθε, ἔνοχος γὰρ ἔσται ἁμαρτίας ὁ τὴν Κυριακὴν νηστεύων, Ἀναστάσεως ἡμέραν οὖσαν, ἢ τὴν Πεντηκοστὴν, ἢ ὅλως κατηφειᾶν ἡμέραν ἑορτῆς Κυ, εὐφρανθῆναι γὰρ δεῖ ἐν αὐταῖς, καὶ οὐ πενθῆσαι, αἱ δὲ Νηστείαι ὑμῶν μὴ ἔστωσαν μετὰ τῶν Ὑποκριτῶν, νηστεύουσι γὰρ Δευτέραν, καὶ Πέμπτην, καὶ Σάββατον, ὑμεῖς δὲ, ἢ τὰς πέντε νηστεύετε ἡμέρας, ἢ Τετράδα, καὶ Παρασκευὴν ὅτι τῇ μὲν Τετράδι, ἢ κατὰ τοῦ Κυριοῦ κρίσις, ὑπὸ Ἰουδαίων ἐμελετήθη τῇ δὲ Παρασκευῇ, ὅτι ἐν αὐτῇ πέμπονθε τὸ δὲ Σάββατον μέντοι, καὶ τὴν Κυριακὴν, ἑορτάζετε, ὅτι τὸ μὲν Δημιουργίας ἐστὶν ὑπόμνημα, ἡ δὲ Ἀναστάσεως, ἓν δὲ μόνον Σάββατον ὑμῖν φυλακτέον ὡς εἴρηται ἐν ὅλῳ τῷ Ἐνιαυτῷ, τὸ τῆς τῆς Κυ ταφῆς, ὅπερ νηστεύειν προσήκει, καὶ οὐ χεορτάζειν.

Διάταξις Πέτρου, καὶ Παύλου.

Ἐγὼ Πέτρος, καὶ Παῦλος διατασσόμεθα, ἐργάζεσθε τοὺς δούλους ἡμέρας πέντε, Σάββατον δὲ καὶ Κυρια-

σί.

κὴν, σχολαζέτωσαν ἐν τῇ Ἐκκλησίᾳ, διὰ τὴν Δισκαλείαν τῆς εὐσεβείας. τὸ μὲν Σάββατον εἴπομεν, δημιουργίας Λόγον ἔχειν· τὴν δὲ Κυριακὴν, Ἀναστάσεως. τὴν δὲ μεγάλην Ἑβδομάδα πᾶσαν, καὶ τὴν μετ' αὐτὴν ἀργήτωσαν. ὅτι ἡ μὲν πάθους ἐστὶν, ἡ δὲ Ἀναστάσεως, καὶ χρεία Διδασκαλίας. τίς ὁ παθὼν καὶ Ἀναστὰς τίς ὁ συγχωρήσας καὶ ἀναστήσας. τὴν Ἀνάληψιν ἀργείτωσαν, διὰ τὸ πέρας τῆς κατὰ Χν οἰκονομίας τὴν Πεντηκοστὴν ἀργήτωσαν, διὰ τὴν παρουσίαν τοῦ Ἁγίου Πνεύματος, τὴν Γενέθλιον ἀργήτωσαν, διὰ τὸ ἐν αὐτῇ γεννηθῆναι τὸν Κύριον. τὴν Ἐπιφάνειαν ἀργήτωσαν, διὰ τὸ ἐν αὐτῇ ἀνάδειξιν γενέσθαι τῆς Χυ Θεότητος, μαρτυρήσαντος αὐτῷ τοῦ Πατρὸς ἐν τῷ Βαπτίσματι, καὶ τοῦ Παρακλίτου ἐν εἴδῃ Περιστερᾶς ὑπὸ δείξαντος τοῖς παρεστῶσι τὴν μαρτυρηθέντα. τὰς ἡμέρας τῶν Ἀποστόλων ἀργήτωσαν, Διδάσκαλοι γὰρ ἡμῶν εἰς Χν γεγώνασιν, καὶ Πνς Ἁγίου ἡμᾶς ἠξίωσαν, εὐχὰς δὲ ἐπιτελεῖτε, ὄρθρου καὶ τρίτης καὶ ἕκτης καὶ ἐννάτης, καὶ ἑσπέρας, καὶ ἀλεκτροφωνίας. ὄρθρου μὲν εὐχαριστοῦντες, ὅτι ἐφώτισεν ἡμᾶς ὁ Κύριος. παραγαγὼν τὴν νύκταν, καὶ ἐπαγαγὼν τὴν ἡμέραν. Τρίτῃ δὲ ὅτι ἐν αὐτῇ ἀποφασιν ἀπὸ τοῦ Πιλάτου ἔλαβεν ὁ Κς. ἕκτῃ δὲ ὅτι ἐν αὐτῇ ἐσταυρώθη. ἐννάτῃ δὲ ὅτι πάντα κεκίνητο τοῦ Δεσπότου ἐστρῶ μένου, φρείττοντα τὴν τόλμαν τῶν δυσσεβῶν Ἰουδαίων. μὴ φέροντα τοῦ Κυ τὴν ὕβριν. Ἑσπέραι δὲ εὐχαριστοῦντες ὅτι δέδωκεν ἡμῖν ἀνάπαυσιν τῶν μεθημερινῶν κόπων, τὴν νύκταν, Ἀλεκτρυόνων δὲ κραυγὴ, διὰ τὸ τὴν ὥραν εὐαγγελίζεσθαι τὴν παρουσίαν τῆς ἡμέρας, εἰς ἐργασίαν τῶν τοῦ Φωτὸς ἔργων.

Περὶ δὲ τῶν Ἐκκλησιῶν.

Εἰ μὴ δυνατὸν ἐν Ἐκκλησίᾳ προϊέναι διὰ τοὺς κακοπίστους, κατ' οἶκον γενέσθω Συνάξις, ἵνα μὴ εἰσέρχονται εὐσεβεῖς, εἰς Ἐκκλησίαν ἀσεβῶν. οὐ γὰρ ὁ τόπος τὸν ἄνθρωπον ἁγιάζει, ἀλλ' ὁ ἄνθρωπος τὸν τόπον. ἐὰν οὖν ἀσεβεῖς κατέχωσις τὸν τόπον, φευκταῖος ἔστω διὰ τὸ βεβηλῶσθαι ὑπ' αὐτῶν. ὡς γὰρ οἱ θεῖοι ἱερεῖς ἁγιάζουσιν, οὕτως οἱ ἐναγεῖς μιαίνουσιν.

Τοὺς δὲ ἐπὶ τὸ ψάλλειν ἐν Ἐκκλησίαις παραγενομένους, θεσπίζομεν. μήτε μὴν ἀτάκτοις βοαῖς χρῆσθαι, καὶ τὴν Φύσιν πρὸς κραυγὴν βιάζεσθαι. ἀλλὰ μετὰ κατανύξεως καὶ φόβου Θεοῦ, τὰς τοιαυτας ψαλμῳδίας ἐκφέρειν τῷ τῶν κρυπτῶν ἐφόρῳ Θεῷ, εὐλαβεῖς γὰρ ἔσεσθαι τοὺς Υἱοὺς Ἰσραὴλ, τὸ ἱερὸν ἐδίδαξε Λόγιον.

Εἴδησις ἐν ποίαις ἡμέραις ποιοῦσιν ἀργείαν, οἱ Μοναχοὶ, καὶ ἐν ποίαις λύουσι τὴν Νηστειαν, τοῦ ὅλου Ἐνιαυτοῦ.

Μηνὶ Σεπτεμβρίῳ, α'. ἀρχὴ τῆς Ἰνδίκτου. Ἀργεία, καὶ κατάλυσις τῆς Νηστείας, εἰς ἔλαιον καὶ οἶνον μόνον. Εἰς τὰς, ς'. τὸ Θαῦμα τοῦ Ἀρχιστρατήγου Μιχαὴλ. Ἀργεία, καὶ κατάλυσις, οἴνου καὶ ἐλαίου. Εἰς τὰς, η'. ἡ Γέννησις τῆς Θεοτόκου. Ἀργεία πάντων, καὶ κατάλυσις εἰς πάντα. Εἰς τὰς, ιδ'. ἡ Παγκόσμιος Ὕψωσις τοῦ τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ. Ἀργεία πάντων, καὶ κατάλυσις. οἴνη μόνου. Εἰς τὰς, κγ'. ἡ σύλλυψις τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, Ἀργεία, καὶ κατάλυσις οἴνου καὶ ἐλαίου μόνον. Εἰς τὰς, κς'. ἡ Μετάστασις τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου. Ἀργεία, καὶ κατάλυσις οἴνου, καὶ ἐλαίου.

Μηνὶ Ὀκτωβρίῳ. Εἰς τὰς, κς'. τῶν ἁγίου Μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβρύτου. Ἀργεία πάντων, καὶ κατάλυσις, οἴνου καὶ ἐλαίου.

Μηνὶ Νοεμβρίῳ. Εἰς τὰς, η'. ἡ Συνάξις τοῦ Ἀρχιστρατήγου Μιχαὴλ, καὶ τῶν λοιπῶν Ἀσωμάτων Δυνάμεων. Ἀργεία πάντων, καὶ κατάλυσις οἴνου, καὶ ἐλαίου. Εἰς τὰς, ιγ'. τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου. Ἀργεία, καὶ κατάλυσις οἴνου καὶ ἐλαίου. Εἰς τὰς, ιδ'. τοῦ Ἁγίου καὶ Πανευφήμου Ἀποστόλου Φιλίππου. Ἀργεία πάντων, καὶ κατάλυσις εἰς πάντα. Εἰς τὰς, κα'. ἡ ἐν τῷ Ναῷ Εἴσοδος, τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θκοῦ, καὶ Ἀειπαρθένου Μαρίας. Ἀργεία πάντων, καὶ κατάλυσις εἰς πάντα. Εἰς τὰς, λ'. τοῦ Ἁγίου καὶ Πανευφήμου Ἀποστόλου, Ἀνδρέου τοῦ Πρωτοκλήτου. Ἀργεία, καὶ κατάλυσις, οἴνου καὶ ἐλαίου.

Μηνὶ Δεκεμβρίῳ. Εἰς τὰς, ε'. τοῦ Ὁσίου, καὶ Θεοφόρου Πατρὸς ἡμῶν, Σάββα, τοῦ ἡγιασμένου. κατάλυσις οἴνου, καὶ ἐλαίου. Εἰς τὰς, ς'. τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου, Ἐπισκόπου Μύρων τῆς Λυκίας, τοῦ Θαυματουργοῦ. Ἀργεία, καὶ κατάλυσις οἴνου, καὶ ἐλαίου. Εἰς τὰς, θ'. ἡ Σύλληψις τῆς Ἁγίας, καὶ Θεοπρομήτορος Ἄννης. Ἀργεία, καὶ κατάλυσις οἴνου καὶ ἐλαίου. Εἰς τὰς, κδ'. τῇ Παραμονῇ τῶν Χριστοῦ Γεννῶν. Ἀργεία, καὶ κατάλυσις οἴνου μόνου. Εἰς τὰς, κε'. ἡ κατὰ Σάρκα Γέννησις, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀργεία πάντων, καὶ κατάλυσις εἰς πάντα. Εἰς τὰς, κς'. ἡ Συνάξις

τῆς

τῆς ὑπεραγίας Θεοτόκου. Ἀργεία πάντων, καὶ κατάλυσις εἰς πάντα.

Ἐν τῇ Παραμονῇ τῶν Ἁγίων Θεοφανείων. Εἰς τὴν ἑκάστου ὡς βούλεται γνώμην, καὶ προαίρεσιν. Αἱ οὖν καταλύομεν τὸ δωδεκαήμερον. καθὼς εἴρηται ἐκ τῶν Ἀποκρήσεων τῶν πανιερωτάτου Ἰωάννου Ἐπισκόπου Κίτρους, πρὸν τὸν ἱερώτατον Ἐπίσκοπον Δυῤῥαχίου, τὸν Καβάσιλαν, εἰς Κεφάλαιον, ιθ'. Καταλύομεν τούτου, εἰς ἀναίρεσιν τῆς τῶν Ἁρμενίων νηστείας. οὗτοι γὰρ, τὸ πρὸ τῶν Ἁχίων Θεοφανείων Δωδεκαήμερον νηστεύοντες οὕτως. Τὰς τρεῖς γὰρ ἑορτὰς, τῇ Πέμπτῃ τοῦ Ἰαννουαρίου Μηνὸς συνημμένως ἐπιτελοῦσι. τὸν Εὐαγγελισμὸν Φημὶ, τὴν Χριστοῦ Γέννησιν, καὶ τὴν Βάπτησιν. Μάλλον γεμὴν ἀμυδρῶς πῶς καὶ σκιωδῶς, τῇ ὀλεθρίῳ, καὶ μιαρᾷ δόξῃ τοῦ σφῶν αἱρεσιάρχου, Ἰσχάνιος αὐτῷ ὄνομα, ἐντεῦθεν τιθέμενοι. Φαντασίᾳ, καὶ οὐκ ἀληθείᾳ, τὸν τοῦ Θεοῦ Λόγου οἰκονομίαν λέγοντες γεγενῆσθαι. Ἐν δὲ ταῖς ἡμέραις τῶν Ἐπιφανείων, ὥσπερ καὶ ἐν τῇ, ν'. ὥσπερ ἔφημεν σχολάζωμεν ἀπὸ τῶν ἔργων, ὅταν τύχῃ ἡμέρα Ἀργείας. Εἰς τὰς, κζ'. τοῦ ἁγίου Ἀποστόλου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου. Ἀργεία καὶ κατάλυσις οἴνου καὶ ἐλαίου.

Μηνὶ Ἰαννουαρίῳ α'. ἡ κατὰ Σάρκα Περιτομὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου. Ἀργεία, καὶ κατάλυσις εἰς πάντα. Εἰς τὰς, ε'. ἡ Παραμονὴ τῶν Ἁγίων Θεοφανείων. Ἀργεία καὶ κατάλυσις, οἴνου καὶ ἐλαίου. Εἰς τὰς, ς'. τὰ Ἅγια Θεοφάνεια τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀργεία πάντων, καὶ κατάλυσις εἰς πάντα Χωρὶς ἐὰν τύχῃ Τετράδα, ἢ Παρασκευῇ κατάλυσις, εἰς ἔλαιον καὶ οἶνον, Ὁ ἰχθύας, καὶ ἀρκετὸν. Εἰς τὰς, ζ. ἡ Σύναξις τοῦ Ἁγίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου. Ἀργεία καὶ κατάλυσις εἰς πάντα. Εἰς τὰς ιϛ'. ἡ Προσκύνησις τῆς τιμίας Ἁλύσεως τοῦ ἁγίου καὶ Πανευφήμου Ἀποστόλου, Πέτρου. Ἀργεία, καὶ κατάλυσις οἴνου καὶ ἐλαίου. Εἰς τὰς, ιζ'. τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἀντωνίου τοῦ μεγάλου. Ἀργεία καὶ κατάλυσις οἴνου καὶ ἐλαίου. Εἰς τὰς, κ'. τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Εὐθυμίου τοῦ μεγάλου. Ἀργεία καὶ κατάλυσις οἴνου καὶ ἐλέου. Εἰς τὰς, κε'. τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Θεολόγου. Ἀργεία καὶ κατάλυσις οἴνου καὶ ἐλαίου. Εἰς τὰς, κζ'. ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου τῶν ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεος τοῦ Χρυσοστόμου. Ἀργεία, καὶ κατάλυσις οἴνου καὶ ἐλαίου. Εἰς τὰς, λ'. τῶν Ἁγίων τριῶν Ἱεραρχῶν Βασιλείου τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου. Ἀργεία, καὶ κατάλυσις οἴνου καὶ ἐλαίου.

Μηνὶ Φευρουάριῳ, β'. ἡ Ὑπαπαντὴ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀργεία, καὶ κατάλυσις εἰς πάντα. Χωρὶς τῆς Ἁγίας Τεσσαρακοστῆς εἰ τύχῃ. Εἰς τὰς, ιζ'. τῶν ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τύρωνος. Ἀργεία καὶ κατάλυσις οἴνου καὶ ἐλαίου. Εἰς τὰς, κδ'. ἡ εὕρεσις τῆς Κεφαλῆς, τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου. Ἀργεία, Ὁ κατάλυσις οἴνου καὶ ἐλαίου.

Μηνὶ Μαρτίῳ θ'. τῶν Ἁγίων Τεσσαράκοντα Μαρτύρων τῶν ἐν Σεβαστείᾳ. Ἀργία καὶ κατάλυσις οἴνου καὶ ἐλαίου. Εἰς τὰς, κε'. ὁ Εὐαγγελισμὸς τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας. Ἀργεία πάντων, καὶ κατάλυσις εἰς ἰχθύας.

Μηνὶ Ἀπριλλίῳ, κγ'. τοῦ ἁγίου Μεγαλομάρτυρος, καὶ Τροπαιοφόρου, Γεωργίου. Ἀργεία, καὶ κατάλυσις, εἰς πάντα εἰμήπως, ἐὰν τύχῃ τῇ Ἁγίᾳ καὶ μεγάλῃ Ἑβδομάδι. Εἰς τὰς, κε'. τοῦ Ἁγίου Ἀποστόλου Ὁ Εὐαγγελιστοῦ, Μάρκου. Ἀργεία, καὶ κατάλυσις εἰς πάντας.

Μηνὶ Μαΐῳ. Εἰς τὰς, β'. τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀρχιεπισκόπου Ἀλεξανδρείας, Ἀθανασίου τοῦ μεγάλου. Ἀργεία, καὶ κατάλυσις οἴνου, καὶ ἐλαίου. Εἰς τὰς, η'. τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου, Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου. Ἀργεία, καὶ κατάλυσις, ὡς βούλεσαι καὶ ὡς θέλεις. Εἰς τὰς, κα'. τῶν Ἁγίων μεγάλων Βασιλέων καὶ Ἰσαποστόλων, Κωνσταντίνου καὶ Ἑλένης. Ἀργεία, καὶ κατάλυσις ὡς θέλεις.

Μηνὶ Ἰουνίῳ, Εἰς τὰς, η' τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου. Ἀργεία, καὶ κατάλυσις ὡς θέλεις. Εἰς τὰς, κδ'. τὸ Γενέθλιον τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου. Ἀργεία, καὶ κατάλυσις, εἰς πάντα Εἰς τὰς, κθ'. τῶν Ἁγίων καὶ Κορυφαίων Ἀποστόλων, Πέτρου καὶ Παύλου Ἀργεία πάντων, καὶ κατάλυσις εἰς πάντα. Εἰς τὰς, λ'. ἡ Σύναξις τῶν Ἁγίων καὶ Πανευφήμων Δώδεκα Ἀποστό. Ἀργεία καὶ κατάλυσις οἴνου καὶ ἐλαίου.

Μηνὶ Ἰουλίῳ. Εἰς τὴν α'. τῶν Ἁγίων καὶ Θαυματουργῶν Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ. Ἀργεία καὶ κατάλυσις, οἴνου καὶ ἐλαίου. Εἰς τὰς β'. ἡ Κατάθεσις τῆς τιμίας Ἐσθῆτος τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας. Ἀργεία, καὶ κατάλυσις ἐλαίου καὶ οἴνου. Εἰς τὰς η'. τοῦ Ἁγίου Μεγαλομάρτυρος Προκοπίου. Ἀργεία, καὶ κατάλυσις ἐλαίου καὶ οἴνου. Εἰς τὰς, ιε'. τῶν Ἁγίων Μαρτύρων, Κηρύκου καὶ Ἰουλίτης. Ἀργεία, καὶ κατάλυσις, ὡς θέλης. Εἰς τὰς, κ'. τοῦ Ἁγίου καὶ ἐνδόξου Προφήτου Ἠλιοῦ. Ἀργεία, καὶ κατάλυσις ὡς θέλης.

λης. F ἰς τὰς κζ'. τοῦ Ἁγίου Μεγαλομάρτυρος Παιτελεήμονος. Ἀργεία, καὶ κατάλυσις οἴνου, καὶ ἐλαίου.

Μηνὶ Αὐγούστῳ. F ἰς τὰς ς'. ἡ Μεταμόρφωσις τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀργεία πάντων, καὶ κατάλυσις εἰς πάντα. F ἰς τὰς ιε'. ἡ Κοίμησις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας. Ἀργεία πάντων, καὶ κατάλυσις εἰς πάντα. E ἰς τὰς κθ'. ἡ ἀποτομὴ τῆς τιμίας Κεφαλῆς, τοῦ Προδρόμου. Ἀργεία πάντων, καὶ κατάλυσις πάντων. E ἰς τὰς, λ'. ἡ κατάθεσις τῆς τιμίας Ζώνης τῆς Ὑπεραγίας Θκοῦ. Ἀργεία, καὶ κατάλυσις εἰς πάντα.

Τῷ Σαββάτῳ τῆς Ἀποκρέου. Ἀργεία, καὶ κατάλυσις πάντων.

Τῷ Σαββάτῳ τῆς Τυρινῆς. Ἀργεία, καὶ κατάλυσις πάντων.

Τῷ Σαββάτῳ πρώτῳ τῶν νηστειῶν. Ἀργεία πάντων, καὶ κατάλυσις οἴνου, καὶ ἐλαίου.

Τῇ Πέμπτῃ τοῦ μεγάλου Κανόνος, κατάλυσις τῆς νηστείας.

Τῇ Παρασκευῇ τῆς Ἀκαθίστου, κατάλυσις ὁμοίως.

Τῇ μεγάλῃ Πέμπτῃ, λύσις τῆς νηστείας.

Χρὴ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι τὰς καταλύσεις τῆς νηστείας τὰς ἐν ταῖς τῶν Ἁγίων μνήμαις δηλουμένας, ἐν τοῖς Κοινοβίοις παρατηροῦνται, καὶ καταλύουσιν. Αἱ δὲ Λαύραι, καὶ πάνταις οἱ κατ' ἑαυτοὺς ζῶντες, φυλάττειν, καὶ νηστεύειν ὀφείλωσι, καὶ εἰς μόνας τὰς Δεσποτικὰς ἑορτὰς καταλύειν, ἴσως δὲ εἰβούλονται, καὶ τὴν Πεντηκοστὴν, καὶ τὸ Δωδεκαήμερον, εἰς ἔλαιον, καὶ οἶνον μόνον.

Προστάσσουσι δὲ τὰ τυπικὰ, ἵνα ἐν τῇ νηστείᾳ τῶν Ἁγίων Ἀποστόλων, καὶ τῶν Χυ γεννῶν, γίνεσθαι κατάλυσιν ἐλαίου, καὶ οἴνου, τῇ Τρίτῃ, καὶ Πέμπτῃ ἡμέρᾳ, ὡς ἤδη προηρήκαμεν, οὐ μέντοιγε, καὶ εἰς ἰχθύας, εἰμὴ τύχῃ ἐν ταύταις ταῖς δυσὶν ἡμέραις, μνήμη Ἁγίων, πάνυ μεγάλων, καὶ ἐπισήμων, δεῖ οὖν, καὶ τοῦτο ἐν τῷ κοινῷ γίνεσθαι, ἐν δὲ τοῖς καθεζομένοις ἰδίᾳ, οὐχ ἔλαιον, S οἶνος βρωθήσεται παραὐτοῖς, εἰμήτιγε ἐν ταύταις ἐπιστῇ μνήμη Ἁγίου, τῶν πάνυ μεγάλων, ἢ τυχὸν, διὰ σθένειαν Σώματος, ἢ γύρους, ἢ ἀδυναμίας. Ταῦτα πάντα πατέρες, καὶ ἀδελφοὶ, οὐχ ἁπλῶς, καὶ ὡς ἔτιχεν ἐτέθησαν παρ' ἡμῶν, ὡς ἄντις οἰειθεῖ ἀλλὰ διαφόροις ἐνετυχόντες Τυπικοῖς, τὴν πραγματείαν τοῦ λόγου, διὰ τὴν ὑπακοὴν ἐποιήσαμεν, καὶ ὡς βούλεσθε πράττετε ἀδελφοὶ. μόνον εὔχεσθε ὑπὲρ ἡμῶν ἀδιαλείπτως.

Ἀναγκαῖον ἐστὶν ὦ Πατέρες καὶ ἀδελφοὶ, τοῦ φυλάττειν ὅλον τὸν χρόνον τὰς τρεῖς ἡμέρας, διὰ ξυροφαγίας, ἅπαξ τῆς ἡμέρας χωρὶς οἴνου καὶ ἐλαίου Τετράδα καὶ Παρασκευῇ, σὺν τῇ Δευτέρᾳ, καθὼς λέγει Θεόφιλος ὁ Ἀλεξανδρείας, οὐκ ἔστι γὰρ ἡ Βασιλεία τοῦ Θεοῦ, βρῶσις, καὶ πόσις.

Ὅταν οὖν λέγει ἐν Τετάρτῃ καὶ Παρασκευῇ, καὶ τύχῃ Ἁγίου ἐπισήμου μνήμη, κατάλυσις γίνεται οἴνου, καὶ ἐλαίου.

Εἰ Παραμονὴ ἧς τινοσοῦν Δεσποτικῆς ἑορτῆς, Τετράδα συναντίσειεν, ἢ Παρασκευῇ, οὐ χρὴ καταλύειν τὴν Νηστείαν τῇ ἑσπέρᾳ, διὰ τὴν ἐπιοῦσαν ἑορτὴν κατὰ τὴν Κανόνα τῶν Ἁγίων Ἀποστόλων, αὐτοὶ γὰρ ἐνομοθέτησαν τῶν τοιούτων ἡμερῶν τὴν Νηστείαν, καὶ μετ' αὐτῶν οἱ Ἅγιοι Πατέρες πάντες ὁμοίως.

Καταλύομεν καὶ τὴν πρὸ τῆς Ἀποκρέου ἅπασαν Ἑβδομάδαν, δι' ἕτερον πονηρὸν Ἔθος τῶν Ἁρμενίων ἄστατον, ἐκτεῦθεν τιθέμενοι. νηστεύουσι γὰρ οὗτοι δι' ἀπώλειαν Κυνὸς, ᾧ ἐπωνυμὸν ἦν τῷ Κυνὶ Ἀρτζιβούριος διὰ τὸ προϊέναι καὶ μηνύειν ἐν Πόλεσι καὶ Κώμαις, τὴν ἐπιδημίαν τοῦ Διδασκάλου αὐτοῦ Σεργίου τὸ γὰρ Ἀρτζιβούριος τῇ τῶν Ἁρμενίων διαλέκτῳ, Μανδάτωρ ἑρμηνεύεται. ὃν πενθήσας ὁ Σέργιος ὑπὸ Θηρίων βρωθέντα, ἐπέσκεψε πᾶσι τοῖς Ἁρμενίοις νηστεύειν ἐν ταύταις τῆς ἡμέραις, ὑπὲρ τῆς τῶν Κυνὸς τελευτῆς, καὶ κατιφειᾶν ἐτησίως, καὶ σκυθρωπάζειν, οἳ καὶ συγκαλύπτειν τὸ αἰσχρὸν μηχανόμενοι, εἰς ἀνάμνησιν τῆς τῶν Νινευιτῶν νηστείας ἰσχυρίζοντες ταύτην ἐπιτελεῖν.

Φησὶ γὰρ ὁ μέγας Ἀθανάσιος, μὴ καταλύειν νηστείαν Κυρίου, ἐν ἰχθύσι τε καὶ ἐλαίῳ, εἰς μήπως ἐπὶ νόσῳ βεβάρισαι, ἢ γοῦν Τετράδα, καὶ παρασκευῇ, ὁ γὰρ καταλύων ταύτας, σὺν σταυροὶ τὸν Χν, ὥσπερ, καὶ Ἰουδαῖοι, ἐν γὰρ τῇ Τετράδι παρέδοσαν αὐτὸν, καὶ ἐν τῇ Παρασκευῇ ἐσταύρωσαν, εἰμὴ ἐν μόναις ταῖς τῶν Ἐπιφανείων, καὶ ἐν ταῖς ἐν τῇ Πεντηκοστῇ, ταύταις γὰρ ὁ καταλύων, ἀνεύθυνος ἔστω.



Περὶ Ἐγκρατείας, καὶ γαστριμαργίας.

Αἴνε τὸν οἶνον ἐλάχιστον, ὅσον γὰρ κολοβοῦται, τοσοῦτον εὐεργετεῖ τοὺς πίνοντας, μόνα δίδου τῇ Γαστρὶ, ἀχρήζει λαβεῖν, οὐχὶ γὰρ ὅσα βούλεται, λόγῳ τοίνυν, λαμβάνων, καὶ λόγῳ ἀπεχόμενος, οὐχ ἁμαρτήσεις, ἄμεινον γὰρ ἡ μετὰ λόγου οἰνοποσία, τῆς μετὰ τύφου ὑδροποσίας, καὶ βλέπε μοι τοὺς μετὰ λόγου τὸν οἶνον πίνοντας ἄνδρας Ἁγίους, καὶ τοὺς ἄνευ λόγου ὑδροποτήσαντας ἀνοῦς βεβήλους, μηκέτι ψέξῃς, ἢ ἐπαίνεσῃς τὴν ὕλην, ἀλλὰ μακαρίσῃς, ἢ τολανήσῃς τὴν γνώμην τῶν καλῶς, ἢ κακῶς αὐτῇ χρωμένων, ἐπίνποτε Ἰωσὴφ παρ' Αἰγυπτίοις οἶνον, ἀλλ' οὐκ ἐβλάβη τὴν φρένα, ἀσφαλίσατο γὰρ τὴν γνώμην, ὑδρο-

ὑδροπότησε δὲ Πυθαγόρας, καὶ Διογένης, καὶ Πλάτων, ἐν οἷς, καὶ Μανιχαῖοι, καὶ τὸ λοιπὸν Σύστημα τῶν Ἐθελοφιλοσόφων, καὶ εἰς τοσοῦτον ἤλασαν κουφοδοξίαν, ὡς καὶ τὸν Θεὸν ἀγνοῆσαι, καὶ προσκυνῆσαι Εἴδωλα, ὃν γὰρ τρόπον ὠφελεῖ ἡ νηστεία τοὺς μετὰ λόγου αὐτῇ προσιόντας, οὕτως βλάπτει τοὺς ἀλόγως αὐτὴν μετερχομένους.

Οὐ τὸ βραδυφαγῆσαι, τοῦτο μόνον νηστεία ἐστὶν, ἀλλὰ τὸ βραχυφαγῆσε, καὶ οὐ τὸ διὰ δύο ἐσθίειν, τοῦτο ἄσκησις ἐστὶν ἀλλὰ, καὶ τὸ μὴ ποικιλοφαγῆσαι, ἄσκησις γὰρ ἔστι. Τράπεζα, ἐν μονοειδεῖ τροφῇ συνιστομένη, τὸ ἔκλυτον τῆς παντοφαγίας, ὡς ἀηδὲς βδελυσσομένη, ἄσκει οὖν τοσοῦτον ὅσον κωλύσαι τῆς σαρκὸς τὰ κινήματα, ἐὰν δὲ ἀσθενῇ, πρὸς ὑγείαν τὸ σῶμα, καὶ μὴ πρὸς τρυφὴν θεράπευε.

Οὐ μόνον κραιπάλη οἴνου τὴν διάνοιαν μεθύσκειν εἴωθεν, ἀλλὰ καὶ πλησμονὴ ὕδατος, καὶ πασῶν τροφῶν ὑπερβολὴ, κεκαρωμένην, καὶ νηστάζουταν ταύτην ἀποτελεῖ, ἡ γὰρ σύμμετρος, καὶ μετὰ λόγου τῶν τροφῶν μετάληψις. τῆς ὑγείας φροντίζει τοῦ Σώματος, οὐ τὴν ἁγιωσύνην ἀφαιρεῖται, εἰς μάτην τοίνην ἐπὶ νηστείᾳ, καὶ ἀγρυπνίᾳ, καὶ ταῖς λοιπαῖς ἀρεταῖς ἐγκαυχώμεθα, ἕως οὗ τὴν πρὸς Θεὸν ἀγάπην καὶ τοῦ Πλησίον κατορθώσομεν, ὁ γὰρ κατορθώσας τὴν πρὸς τὸν Πλησίον ἀγάπην, ἐν ἑαυτῷ ἔχει τὸν Θεὸν, αἱ γὰρ ἀκρότητες ἑκατέρων τῶν μερῶν, ἐπίσης βλάπτουσι. Καὶ ἡν τῆς νηστείας ὑπερβολὴ, καὶ ἡ τῆς γαστρὸς χορτασία, καὶ ἡ τῆς ἀγρυπνίας ἀμετρία, καὶ ὁ τοῦ ὕπνου κόρος, καὶ αἱ λοιπαὶ ὑπερβολαὶ, καὶ γὰρ ἔγνωμεν τινὰς, διὰ γαστριμαργίας μὲν, μὴ ἠττηθέντας, διὰ δὲ ἀμέτρου νηστείας καταβληθέντας, καὶ πρὸς τὸ πάθος τῆς Γαστριμαργίας ὀλισθήσαντας, διὰ τὴν προσγενομένην ἐκ τῆς ἀμετρίας ἀσθένειαν.



Εἴοι τῶν Τεσσαρῶν Εὐαγγελιστῶν, ἐκ τῆς τοῦ Δωροθέου Μάρτυρος, καὶ Τυρίων Ἐπισκόπου Συνόψεως.

Ματθαῖος ὁ Εὐαγγελιστὴς, τὸ Εὐαγγέλιον τοῦ Κυ Ἰησοῦ Χριστοῦ τῇ Ἑβραΐδι διαλέκτῳ συνέγραψε, καὶ ἐκδέδωκεν αὐτὸ, εἰς Ἱερουσαλὴμ Ἰακώβῳ τῷ ἀδελφῷ τοῦ Κυρίου, τῷ κατὰ σάρκα, Ἐπισκόπῳ ὄντι τῆς Ἱερουσαλὴμ, ἐκοιμήθη δὲ ἐν Ἱεραπόλει τῆς Παρθίας. καὶ ἐκεῖ θάπτεται ἐνδόξως.

Μάρκος ὁ Εὐαγγελιστὴς καὶ πρῶτος Ἀλεξανδρείας Ἐπίσκοπος, Ἀλεξανδρεῦσι, καὶ πάσῃ τῇ περιχόρῳ αὐτῆς ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Κυρίου, ἀπὸ Αἰγύπτου, καὶ μέχρι Πενταπόλεως, ἐπὶ δὲ τῆς Βασιλείας Τραϊανοῦ, ἐν Ἀλεξανδρείᾳ, κάλον λαβὼν

κατὰ τοῦ τραχήλου, καὶ συρεὶς ἀπὸ τῶν καλουμένων Βουκόλου τόπων, ἕως τῶν καλουμένων Ἀγγέλων, ἐκεῖ ἐκάη πυρὶ, ὑπὸ τῶν Εἰδολομανῶν, Μηνὶ Φαρμουθίλεως, καὶ ἐκεῖ ἐτάφη ἐν τοῖς Βουκόλου.

Λουκᾶς ὁ Εὐαγγελιστὴς, ἀντιοχεὺς μὲν τὸ γένος ἦν, Ἰατρὸς δὲ τὴν τέχνην, συνεγράψατο δὲ, τὸ μὲν Εὐαγγέλιον, κατ' ἐπιτροπὴν Πέτρου τοῦ Ἀποστόλου, τὰς δὲ Πράξεις τῶν Ἀποστόλων, κατ' ἐπιτροπὴν Παύλου τοῦ Ἀποστόλου, συναπεδήμησε γὰρ τοῖς Ἀποστόλοις, καὶ μάλιστα τῷ Παύλῳ, οὗ καὶ μνημονεύσας ὁ Παῦλος ἔγραψεν ἐν Ἐπιστολῇ, ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ Ἰατρὸς ὁ ἀγαπητὸς ἐν Κυρίῳ, ἀπέθανε δὲ ἐν Ἐφέσῳ, καὶ ἐτάφη ἐκεῖ, μετετέθη δὲ ὕστερον εἰς Κωνσταντινούπολιν μετὰ καὶ Ἀνδρέα, καὶ Τιμοθέου τῶν Ἀποστόλων, κατὰ τοὺς καιροὺς Κωνσταντίνου Βασιλέως, Υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου.

Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, ὁ καὶ Εὐαγγελιστὴς τοῦ Κυ γενόμενος, ὃν καὶ ἠγάπα ὁ Κς, ἐν μὲν τῇ Ἀσίᾳ ἐκήρυκε τὸ Εὐαγγέλιον τοῦ Χυ, ὑπὸ δὲ Τραϊανοῦ Βασιλέως ἐξωρίσθη ἐν τῇ Νήσῳ Πάτμῳ, διὰ τὸν λόγον τοῦ Κυρίου, ἐκεῖ δὲ ὢν, καὶ τὸ Ἅγιον Εὐαγγέλιον ἔγραψε, καὶ ἐξέδωκεν ἐν Ἐφέσῳ, διὰ Γαΐου τοῦ Ξενοδόχου, καὶ Διακόνου, ᾧ καὶ Παῦλος μαρτυρεῖ λέγων Ῥωμαίοις, ἀσπάζεται ὑμᾶς Γάϊος ὁ ξένος μου, καὶ ὅλης τῆς Ἐκκλησίας, μετὰ δὲ τὸν τελευτὴν Τραϊανοῦ ἐπάνησιν ἀπὸ τῆς Νήσου ὁ Μακάριος Ἰωάννης, καὶ παραμένει ἐν Ἐφέσῳ, καὶ ἔζησεν ἔτη, ρκ' καὶ μετὰ ταῦτα ζῶν ἑαυτὸν ἐκεῖ ἔθαψε Θεοῦ βουλήσει, εἰσὶ δὲ οἱ λέγουσι, μὴ ἐπὶ Τραϊανοῦ αὐτὸν ἐξωρισθῆναι εἰς Πάτμον, ἀλλὰ ἐπὶ Δομετιανοῦ, καὶ Οὐεσπεσιανοῦ.



Δήλωσις διαλαμβάνουσα τὴν τῶν Εὐαγγελίων ἀνάγνωσιν, καὶ τὴν τῶν Εὐαγγελιστῶν Διαδοχὴν, πόθεν τὸ ἄρχονται, καὶ ποῦ καταλήγουσιν.

Ἰστέον ὅτι, ἀναγινώσκεται τὸ ὕφος τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου Ἑβδομάδαις ὅλαις ἑπτὰ, ἀριθμουμέναις, ἀπὸ τῆς μεγάλης Κυριακῆς τοῦ Πάσχα, χωρὶς τινῶν ἡμερῶν τριῶν.

Τὸ δὲ κατὰ Ματθαῖον, Ἅγιον Εὐαγγέλιον ἀναγινώσκεται ἀπὸ τῆς β'. τῆς μετὰ τὴν Πεντηκοστὴν, ἤγουν τοῦ Ἁγίου Πνεύματος, ἄχρι τῆς μετὰ τὴν ὕψωσιν Παρασκευῆς, κυκλοῦται δὲ ἐν Ἑβδομάδαις, ιζ' ὧν αἱ μὲν ιά. ἔχουσι τὸν Ματθαῖον καθεκάστην ἀναγινωσκόμενον, ἀπὸ δὲ τῆς ιβ'. Ἑβδομάδος, ἀναγινώσκεται τὸ κατὰ Μάρκον Εὐαγγέλιον ἐν ταῖς ἡμέραις, ἐν δὲ τοῖς Σάββασι, S τῇ Κυριακῇ, ἀναγινώσκετο πάλιν ὁ Ματθαῖος, ἄχρι τῶν ιζ'. Ἑβδομάδων, ἡ ιζ'. Ἑβδομὰς τοῦ Ματθαίου, εἴπερ γίνετο ἐσώπαχε.

εἰ δὲ ἐξώπασχα, οὐδαμῶς. εἰ γοῦν μέλλει ἀναγινώσκεσθαι καὶ ἡ τοιαύτη ιζ'. Ἑβδομὰς, ἀναπόδιζε ὄπισθεν, καὶ ὅθεν θέλεις ἀνάγνωσθε τὰς πέντε ἡμέρας. εἰδ' ἄρα διὰ τὸ μηκύνεσθαι τὸ Πάσχα λείψει, καὶ εἰς τὸν Λουκᾶν Σάββατον καὶ Κυριακὴν, ἀναγινώσκεται ἐκεῖ, ιζ'. Κυριακὴ τοῦ Ματθαίου, ἢ τῆς Χαναναίας πρὸ τοῦ Ζαχαρίου.

Τὸ δὲ κατὰ Λουκᾶν Ἅγιον Εὐαγγέλιον, ἀναγινώσκεται ἀπ' ἀρχῆς Δευτέρας τῆς μετὰ τὴν Ὕψωσιν Κυριακῆς, καὶ ἐν ὅλαις Ἑβδομάδαις, ιβ'. ἀπ' ἀρχῆς δὲ τῆς ιγ'. Ἑβδομάδος ἀναγινώσκεται τὸ κατὰ Μάρκον ἐν τῇ ἡμέραις. ἐν δὲ τοῖς Σάββασι καὶ τῇ Κυριακαῖς, πάλιν ὁ Λουκᾶς.

Τὸ δὲ κατὰ Μάρκον Ἅγιον Εὐαγγέλιον, ὅσον μὲν ἀναγινώσκεται ἀνάμεταξὺ Ματθαίου καὶ Λουκᾶ. τὸ ὑπόλοιπον ἀναγινώσκεται ἐν τῇ Τεσσαρακοστῇ, ἐν τοῖς Σάββασι καὶ ταῖς Κυριακαῖς.

Ἰστέον ὅτι, Τέσσαρα εἰσὶ τὰ Εὐαγγέλια, καὶ οὔτε πλείονα οὔτε ἐλάττονα. ἐπείπερ Τέσσαρα Καθολικὰ Πνᾶτα, καὶ Τέσσαρα τὰ Εὐαγγέλια πανταχόθεν πλέοντα τὴν ἀφθαρσίαν, καὶ ἀναζωπυροῦντα τοὺς ἀνθρώπους, ἐξ ὧν φανερὸν ὅτι ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ φανερωθεὶς τοῖς ἀνοῖς (καθὼς φησὶν ὁ Δαβὶδ.) ἔδωκεν ἡμῖν Τετράμορφον τὸ Εὐαγγέλιον, καὶ γὰρ τὰ Χερουβὶμ τετραπρόσωπα, καὶ τὰ πρόσωπα αὐτῶν εἰκόνες τῆς πραγματείας τῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ τὸ γὰρ ὅμοιον Λέοντι, τὸ ἔμπρακτον καὶ Βασιλικὸν καὶ Ἡγεμονικὸν χαρακτηρίζει. τὸ δὲ ὅμοιον Μόσχῳ, τὴν Ἱερουργικὴν ἐμφαίνει. τὸ δὲ ἀνθρωποι εἰδὲς, τὴν σάρκωσιν διαγράφει. τὸ δὲ ὅμοιον Ἀετοῦ, τὴν ἐπιφοίτησιν τοῦ Ἁγίου Πνς ἐμφανίζει.

Τοῦ ἁγίου Μαξίμου τοῦ Μάρτυρος καὶ Ὁμολογητοῦ, περὶ τῶν Τριάκοντα ἀργυρίων.

